τοῦτο Sauppe wrongly understands to mean "Olynthiorum et Macedonum opes." It must mean "the power of which we are speaking," i. e. the Macedonian. cf. *οὗτος*

Θετταλοῖς στασιάζουσι καὶ τεταραγμένοις ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησε· καὶ ὅποι τις ἄν, οἶμαι, προσθῇ κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ. αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστι μεστή. 15. καὶ γὰρ οὗτος ἅπασι τούτοις οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις καὶ ταῖς στρατείαις, ἔτ' ἐπισφαλεστέραν ἢ ὑπῆρχε φύσει κατεσκεύακεν ἑαυτῷ. μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν καὶ τοὺς ἀρχομένους, ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ καὶ τοῦτο ἐζήλωκε, καὶ προῄρηται πράττων καὶ κινδυνεύων, (16.) ἂν συμβῇ τι, παθεῖν, τὴν τοῦ διαπράξασθαι ταῦτα ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων βασιλεὺς δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος· τοῖς δὲ τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι, κοπτόμενοι δὲ ἀεὶ ταῖς στρατείαις ταύταις ταῖς ἄνω κάτω λυποῦνται καὶ

in the next section and 1. 12. For the Olynthians this power proved considerable (§ 1) when combined with theirs, still therefore only *ἐν πρ. μέρει*. The statement that the Macedonians merely assisted the Olynthians in taking Potidaea is made here on rhetorical grounds. He speaks no doubt more accurately in 6. 20.

νυνὶ δέ] "and lately," "quite recently." 19. 65, *ὅτε γὰρ νῦν ἐπορευόμεθα εἰς Δελφούς* (where see Mr. Shilleto's note). Arist. *Nub.* 786, *ἐπεὶ τί νυνὶ πρῶτον ἐδιδάχθης; λέγε*. Pl. *Theaet.* 142 B, *ἐπεί τοι καὶ νῦν ἤκουόν τινων . .*

ἐπὶ . . οἰκίαν] "assisted the T. in their domestic feuds and troubles against the dominant House." Thirl. 5. 279; Grote, 11. 286. Dind. and Sauppe take *πάντα* as an adjective referring to the collective *δύναμιν*, as supr. 10, *τὰ τοιαῦτα*. The meaning will then be, "the accession of any power, however small, is in all cases of service." Schäf. understands it as Franke, "*omni ex parte, omnino prodest*, cui contrarium est *οὐδὲν ὠφελεῖ*," "is of essential service;" and this is perhaps preferable. Dem. may have had Isocrates' words (4. 139) in his mind, *ἐν γὰρ τοῖς τοιούτοις καιροῖς πολλάκις μικραὶ δυνάμεις μεγάλας ῥοπὰς ἐποίησαν*.

§ 15. **οἷς ἄν, κ.τ.λ.**] "which one might conceive to constitute his greatness." 9. 40, *οἷς ἄν τις ἰσχύειν τὰς πόλεις κρίνοι*.

τοῦτο] referring to **δόξης**. 22. 30, *πρόνοιαν ἐποιεῖτο . . τῆς πολιτείας καὶ . . περὶ τούτου . .* Madv. 79 *a*.

ἐζήλωκε] "makes this his ambition," "in hoc studium suum positum habet," the tense expressing a steady ambition.

§ 16. **ἂν συμβῇ τι**] "whatever may befall," hardships, wounds, death if necessary. cf. the famous passage, of which this is the germ, in 18. 67.

τὴν . . δόξαν] The separation of the article from its substantive is noticeable. cf. 5. 5; 6. 29 (where twenty-nine words intervene); 18. 254; 29. 10, *ἐκ τοῦ παρὰ πᾶσιν ὑμῖν δόξαντος, ὡς ἐγὼ νομίζω, δικαίου*.

ἀντί] 1. 1. "before a life of security."

φιλοτιμίας] "glory resulting from these," as in § 3.

ἄνω κάτω] "harassed continually by these expeditions up and down,"

συνεχῶς ταλαιπωροῦσιν οὔτ' ἐπὶ τοῖς ἔργοις οὔτ' ἐπὶ τοῖς αὑτῶν ἰδίοις ἐώμενοι διατρίβειν, οὔθ' ὅσ' ἂν πορίσωσιν οὕτως ὅπως ἂν δύνωνται, ταῦτ' ἔχοντες διαθέσθαι κεκλειμένων τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον. 17. οἱ μὲν οὖν πολλοὶ Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄν τις σκέψαιτο οὐ χαλεπῶς· οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι καὶ πεζέταιροι δόξαν μὲν ἔχουσιν ὡς εἰσὶ θαυμαστοὶ καὶ συγκεκροτημένοι τὰ τοῦ πολέμου, ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους. 18. εἰ μὲν γάρ τις ἀνήρ ἐστιν ἐν αὐτοῖς οἷος ἔμπειρος πολέμου καὶ ἀγώνων,

καί being omitted, as very often in fixed contrasts and combinations. 4. 41; but ἄνω καὶ κάτω 9. 36.

ἐπὶ . . δ.] "allowed to employ themselves on their occupations or their private concerns." § 12, ὄντων ἐπὶ . . Arist. *Rhet.* 2. 5. 20, οἷς ἡ διατριβὴ ἐπὶ ταῖς τῶν πέλας ἁμαρτίαις. ἔργοις, i. e. agriculture and trades of various kinds. Thuc. 2. 40; Aesch. 3. 8, ἄπεισιν ἐπὶ τῶν ἰδίων ἔργων. Arist. *Rhet.* 2. 4. 9, καὶ τοὺς δικαίους . . τοιοῦτοι δ' οἱ ἀπὸ τοῦ ἐργάζεσθαι· καὶ τούτων οἱ ἀπὸ γεωργίας· καὶ τῶν ἄλλων, οἱ αὐτουργοὶ μάλιστα. The passive construction of ἐώμενοι is not common. Isocr. 4. 97, οὐ μὴν εἰάθησαν. Thuc. 1. 142. *Iph. Aul.* 332, τὸν ἐμὸν οἰκεῖν οἶκον οὐκ ἐάσομαι. For πορίσωσιν Dind. reads ποιήσωσιν with S and two other MSS., quoting Ps. Dem. 42. 20, ποιῇς σίτου . . μεδίμνους, "raise," and ib. § 31, πολὺν καὶ σῖτον καὶ οἶνον ποιοῦντες. But this sense is too narrow for this passage. There seems to be no objection to the ordinary reading. ὅσ' ἂν πορίσωσιν = "their earnings" objectively regarded, "self" being put out of view: see note to 4. 29, προσποριεῖ.

ὅπως ἂν δ.] "as well as they can"—"nor able to dispose of their hardly-gained earnings . . ." Dobree quotes Thuc. 7. 67; so also Dem. 21. 140, καθ' ἑαυτὸν ὅπως δύναται ζῶντα. The blockade of the M. coast is mentioned again in 19. 153 and 315. For the dat. Φιλίππῳ Ps. Dem. 11. 10 has the more usual διάκεινται πρὸς τὸν Φ. cf. 3. 8; Arist. *Nic. Eth.* 8. 2. 4, λανθάνοντας ὡς ἔχουσιν ἑαυτοῖς.

§ 17. **πεζέταιροι]** Thirl. 5. 179.

συγκεκροτημένοι] "verbum proprium de re ita componendâ et instruendâ ut partes omnes conspirent et concinant." Buttm. *Ind. Mid.* s. v. Hence it is said of a chorus, the crew of a ship, &c. 21. 17, συγκροτεῖν καὶ διδάσκειν τὸν χορόν. Thuc. 8. 95, ἀξυγκροτήτοις πληρώμασιν. "have the reputation, it is true, of being admirable soldiers and thoroughly trained in matters pertaining to war" (Madv, 31 *a c*), "admirable and highly-trained soldiers."

οἵου τε ψ.] Madv. 166 *c*, r. 1. "utterly incapable of . .," "of unimpeachable veracity they are no better than others." For the plural οὐδένων see note to 1. 19.

§ 18.] **οἷος ἔμπειρος** = τοιοῦτος οἷός ἐστιν ἔμπειρος, "such as one experienced in wars is," "if any one among them is experienced in campaigns and battles." cf. Arist. *Vesp.* 970, ὁ δ' ἕτερος οἷός ἐστιν οἰκουρὸς μόνον, and the fuller expression in Xen. *Mem.* 4, c. 8 fin. ἐδόκει τοι-

τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπωθεῖν αὐτὸν ἔφη, βουλόμενον πάντα αὐτοῦ δοκεῖν εἶναι τὰ ἔργα (πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ τὴν φιλοτιμίαν ἀνυπέρβλητον εἶναι)· εἰ δέ τις σώφρων ἢ δίκαιος ἄλλως, τὴν καθ' ἡμέραν ἀκρασίαν τοῦ βίου καὶ μέθην καὶ κορδακισμοὺς οὐ δυνάμενος φέρειν, παρεῶσθαι καὶ ἐν οὐδενὸς εἶναι μέρει τὸν τοιοῦτον. 19. λοιποὺς δὴ περὶ αὐτὸν εἶναι λῃστὰς καὶ κόλακας καὶ τοιούτους ἀνθρώπους οἵους μεθυσθέντας ὀρχεῖσθαι τοιαῦτα οἷα ἐγὼ νῦν ὀκνῶ πρὸς ὑμᾶς ὀνομάσαι. δῆλον δ' ὅτι ταῦτ' ἐστὶν ἀληθῆ· καὶ γὰρ οὓς ἐνθένδε πάντες ἀπήλαυνον ὡς πολὺ τῶν θαυματοποιῶν ἀσελγεστέρους ὄντας, Καλλίαν ἐκεῖνον τὸν δημόσιον καὶ τοιούτους ἀνθρώπους, μίμους γελοίων καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων ὧν εἰς τοὺς συνόντας ποιοῦσιν ἕνεκα τοῦ γελασθῆναι, τούτους ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει. 20. καίτοι ταῦτα, εἰ καὶ μικρά τις ἡγεῖται,

οὗτος εἶναι οἷος ἂν εἴη ἄριστος ἀνήρ. —τούτους after τις denoting a class. 9. 30. Don. 401, obs. *c*. μέν takes up the preceding μέν in εἰ μὲν γάρ τις . . cf. 8. 44.

εἶναι] Madv. 163 *b*. "for again besides his other failings his jealousy too is (my informant said) excessive.

ἄλλως] "and if any one, not distinguished as a soldier, is otherwise . ." "if any one is generally temperate or upright." 20. 9, οὔτε γὰρ ἄλλως καλὸν οὔθ' ὑμῖν πρέπον. Dind. reads ἄλλως τε.

τὴν . . ἀκρασίαν] Thirl. 5. 169: cf. the long passage from Theopompus in Polybius, lib. 8, c. 11, with the historian's comments.

κορδακισμούς] "lascivious dancings." *Gr. and Rom. Ant.* s. v. Comoedia.

ἐν οὐδενὸς . . μ.] "in no esteem," οὐδενός being neuter. cf. 3. 31; 23. 148, ἐν σφενδονήτου μ. Xen. *Cyr.* 6. 1. 28, ἐν ἀκροβολιστοῦ μ., passages which show us the origin of the phrase.

εἶναι] continuing the report; "so he has left about him."

§ 19. **λῃστάς**] "freebooters")(ἔμπειρος π. καὶ ἀγώνων, the real soldier. Theop. ap. Athen. 4. 167 says, τὰ μὲν γὰρ οἱ πόλεμοι καὶ αἱ στρατεῖαι καὶ αἱ πολυτέλειαι θρασεῖς αὐτοὺς εἶναι προετρέποντο καὶ ζῆν μὴ κοσμίως, ἀλλ' ἀσώτως καὶ τοῖς λῃσταῖς παραπλησίως.

κόλακες)(σ. ἢ δίκαιος.

τ. . . οἵους] "men of such character as," "men who will get drunk and perform such dances . .," the κορδακισμούς of the previous section. Madv. 166 *a*.

ἀπήλαυνον] as supr. § 6, "conspired to scout."

θαυματοποιῶν] "mountebanks," "jugglers." cf. Pl. *Rep.* 7. 514 B. Ruhnken, *Tim. Lex.* s. v. θαύματα.

ἐκεῖνον] of course in a bad sense, "the notorious," "that wretch." On the players of farces see *Gr. and Rom. Ant.* s. v. Mimus.

δημόσιον] "public slave." *Gr. and Rom. Ant.* s. v. 19. 129; Aesch. 1. 52, ἄνθρωπος δημόσιος οἰκέτης τῆς πόλεως.

αἰσχρῶν] "obscene," "ribald."

ἕνεκα τοῦ γ.] "to raise a laugh against them."

§ 20. **εἰ καί**] "etsi." Dind. and

μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, δείγματα τῆς ἐκείνου γνώμης καὶ κακοδαιμονίας ἐστὶ τοῖς εὖ φρονοῦσιν. ἀλλ', οἶμαι, νῦν μὲν ἐπισκοτεῖ τούτοις τὸ κατορθοῦν· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι τὰ τοιαῦτα ὀνείδη· εἰ δέ τι πταίσει, τότ' ἀκριβῶς αὐτοῦ ταῦτ' ἐξετασθήσεται. δοκεῖ δ' ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, δείξειν οὐκ εἰς μακράν, ἂν οἵ τε θεοὶ θέλωσι καὶ ὑμεῖς βούλησθε. 21. ὥσπερ γὰρ ἐν τοῖς σώμασιν, τέως μὲν ἂν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται, ἐπὰν δὲ ἀρρώστημά

Sauppe read καὶ εἰ, "etiamsi," with S. Jelf, 861. "yet these things, though they may be thought trivial," trivial in themselves, these things are important as indications of character.

γ. **καὶ κακοδαιμονίας**] "character and wrong-headedness," "infatuation,"—the latter word as the more special term being explanatory of the other. West. compares Isocr. 9. 51, τεκμήριον καὶ τοῦ τρόπου καὶ τῆς ὁσιότητος, "of his character in general, and especially of his piety." cf. 6. 1. This mode of expression is very common in Latin. Cic. *Pro Planc.* § 73, "in illo tristi luctu ac discessu." *Pro Sull.* § 2, "officii ac defensionis."—8. 16, κακοδαιμονοῦσι γὰρ ἄνθρωποι καὶ ὑπερβάλλουσιν ἀνοίᾳ.

τοῖς εὖ φρ.] a dat. of limitation, as 1. 27, τοῖς γε σώφροσιν.

τὸ κατορθοῦν] sc. αὐτόν, which is expressed in Ps. Dem. 11. 13. "his prosperous career," "success."

συγκρύψαι] attached to δεινοί as a defining infinitive. Madv. 149. "are famous things for hiding."

ὀνείδη here of the object of reproach, "scandals," "blemishes," "vices," as in 22. 31, πᾶσιν ἔξεστι λέγειν τἀκείνων ὀνείδη. Comp. Sall. *Orat. Lepidi*, c. 10 fin. (quoted by Vömel), "secundae res mire sunt vitiis obtentui; quibus labefactis, quam antea formidatus est, tam contemnetur." Isocr. 6. 102, αἱ μὲν γὰρ εὐτυχίαι καὶ τοῖς φαύλοις τῶν ἀνθρώπων τὰς κακίας συγκρύπτουσιν, αἱ δὲ δυστυχίαι ταχέως καταφανεῖς ποιοῦσιν, ὁποῖοί τινες ἕκαστοι τυγχάνουσιν ὄντες.

αὐτοῦ depends on τοῦτο. cf. 1. 4; 4. 2.

δείξειν] "*appariturum esse.* Est enim impersonaliter dictum ut ap. Arist. *Vesp.* 988, δείξειν ἔοικεν. *Ranae* 1261, δείξει δὴ τάχα." Dind. So Pl. *Phileb.* p. 20 C, προϊὸν δὲ ἔτι σαφέστερον δείξει. We have also αὐτὸ δείξει Pl. *Hipp. Maj.* c. 18, where Heind. quotes the still fuller expression τοὔργον τάχ' αὐτὸ δείξει. Arist. *Lysistr.* 377. So Dem. 19. 157, αὐτὸ δηλώσει. Eur. *Bacch.* 974, τἄλλα δ' αὐτὸ σημανεῖ. In Pl. *Prot.* 329 B, we have the plural, ὡς αὐτὰ δηλοῖ, which Schäfer (on p. 390. 20) had forgotten when he wrote, "nusquam quod meminerim, nisi in locis corruptis, dicitur αὐτὰ δηλώσει: ubique αὐτὸ δηλώσει." "and my belief is that it will appear before long."

οὐκ εἰς μ.] 18. 36; Arist. *Vesp.* 454. cf. supr. § 10.

θέλωσι . . . βούλησθε] "if the gods be willing and you wish," according to the distinction laid down in 1. 1.

§ 21. **τέως**] Bekk. with S here and in 14. 36; 19. 326, &c. Dind. has always ἕως. cf. Buttm. *Ind. Mid.* s. v. τέως, who is probably right in his conclusion that where τέως is used for ἕως, τέως ἕως is the true reading. The difficulty here is increased by our finding ἕως in the application of the simile. Ps. Dem. 11, has ὅταν μὲν ἐρρωμένος . . ἕως μὲν . .

τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα κἂν στρέμμα κἂν ἄλλο τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ, οὕτω καὶ τῶν πόλεων καὶ τῶν τυράννων, ἕως μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστίν, ἐπειδὰν δὲ ὅμορος πόλεμος συμπλακῇ, πάντα ἐποίησεν ἔκδηλα.

22. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ τὸ ὅλον ἡ τύχη παρὰ πάντ᾽ ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα· οὐ μὴν ἀλλ᾽ ἔγωγε, εἴ τις αἵρεσίν μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων ἃ προσήκει ποιεῖν ὑμῶν αὐτῶν καὶ κατὰ μικρόν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ ἡμῖν ἐνούσας ἢ ἐκείνῳ. 23. ἀλλ᾽

κινεῖται] "are in motion, whether it be a rupture, or sprain, or any other part of the system unsound." Dem. repeats the simile in 18. 198.

συμπλακῇ] "but the moment a war on their borders grapples with them it reveals all;"—the aor. as supr. § 9, ἀνεχαίτισε. cf. 9. 51, οὐχὶ συμπλακέντας διαγωνίζεσθαι. Tac. *Agric.* c. 36 has the expression "complexum armorum."

ἔκδηλα] in reference to συγκρύψαι and ἀφανῆ. Ps. Dem. 11. 14 has γίγνεται φανερὰ τὰ δυσχερῆ πάντα τοῖς ἅπασιν.

§ 22.] He now answers the objection that might be raised upon his own admission (§ 20, τὸ κατορθοῦν).

ὁρῶν] "because he sees."

ταύτῃ] "in this view," "in this respect." cf. 3. 2.

προσπολεμῆσαι] as συγκρύψαι § 20.

μέν] "uses the reasoning I admit of a prudent man."

τὸ ὅλον] Dind. and West. read, with all the MSS. except Υ, ὅλον, the former quoting Xen. *Hell.* 5. 2. 7, ὅλον ἁμάρτημα. Dem. 45. 29, ὄψεσθε ὅτι πλάσμα ὅλον ἐστὶν ἡ διαθήκη. 25. 32, ὅλον ἐστὶν ἀπόνοια ἡ τούτου πολιτεία,—passages not to the point, ὅλον being obviously in all "nothing but," "utter," "complete." Transl. "fortune *is* [γάρ] a great influence, or rather, is every thing throughout . .," a sentiment often expressed. Dem. 5. 11. Aesch. 2. 131, διὰ τὴν τύχην ἣ πάντων ἐστὶ κυρία. Pl. *Legg.* 4. 709 B.

οὐ μὴν ἀλλ᾽] after μέν. 1. 16.

ἂν ἑλοίμην . . ἤ] "would prefer the fortune of our city to his," "choose . . before his." Don. p. 392 ff. Madv. 93 *c.*

αὐτῶν] emphatic. "to do your duty *yourselves* even to a small extent;" so in the next section ἐκεῖνος αὐτός.

ἀφ. εἰς] 3. 33. "grounds for reckoning on," "claims to." What is meant is clear from Ps. Dem. 11. 16, τοσούτῳ πλείους ἀφορμὰς αὐτοῦ πρὸς τὴν τῶν θεῶν εὔνοιαν ἔχομεν, ὅσῳ διατελοῦμεν εὐσεβέστερα καὶ δικαιότερα πράττοντες. Comp. the language of the Melians in Thuc. 5. 104, πιστεύομεν τῇ μὲν τύχῃ ἐκ τοῦ θείου μηδὲν ἐλασσώσεσθαι ὅτι ὅσιοι πρὸς οὐ δικαίους ἱστάμεθα.

τὴν παρὰ τῶν θ.] cf. 1. 10.

οἶμαι, καθήμεθα οὐδὲν ποιοῦντες· οὐκ ἔνι δ' αὐτὸν ἀργοῦντα οὐδὲ τοῖς φίλοις ἐπιτάττειν ὑπὲρ αὐτοῦ τι ποιεῖν, μή τί γε δὴ τοῖς θεοῖς. οὐ δὴ θαυμαστόν ἐστιν εἰ στρατευόμενος καὶ πονῶν ἐκεῖνος αὐτὸς καὶ παρὼν ἐφ' ἅπασι καὶ μηδένα καιρὸν μηδ' ὥραν παραλείπων ἡμῶν μελλόντων καὶ ψηφιζομένων καὶ πυνθανομένων περιγίγνεται. οὐδὲ θαυμάζω τοῦτ' ἐγώ· τοὐναντίον γὰρ ἂν ἦν θαυμαστόν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει τοῦ πάντα ποιοῦντος περιῆμεν. 24. ἀλλ' ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις μέν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων ἀντήρατε, καὶ πολλὰ ἰδίᾳ πλεονεκτῆσαι πολλάκις ὑμῖν ἐξὸν οὐκ ἠθελήσατε, ἀλλ' ἵν' οἱ ἄλλοι τύχωσι τῶν δικαίων, τὰ ὑμέτερ' αὐτῶν ἀνηλίσκετε εἰσφέροντες καὶ προεκινδυνεύετε

§ 23. **καθήμεθα**] 4. 9. The bluntness of the statement is softened by *οἶμαι*, which belongs to the same category as *ἴσως* 1. 23.

μή τί γε] Don. p. 578; Madv. 212. "but when a man is himself (*αὐτόν*) idle he cannot require even his friends to do any thing for him, much less the gods;" for the reason assigned by Epicharmus ap. Xen. *Mem.* 2. 1. 20, *τῶν πόνων πωλοῦσι πάντα τἀγάθ' οἱ θεοί*. cf. Sall. *Catil.* c. 52, § 29.

παρὼν ἐφ. ἅ.] "present on all occasions," personally superintending every operation. 1. 4.

μηδ' ὥραν π.] This is explained by 4. 31; 3. 50.

ψηφιζομένων] compare what he says in 4. 20; also 3. 14; 4. 15. *ψήφισμα κενόν*. 15. 1. Here it is opposed to *πονῶν ἐκεῖνος αὐτός*, as *πυνθανομένων* to *παρὼν ἐφ' ἅ.* and *μελλόντων* to *στρατευόμενος*.

§ 24. **εἰ Λ. μὲν . . νυνὶ δ'**] The relation between the two clauses here would be more clearly expressed in English by making that introduced by *μέν* subordinate to the other. The Greeks with their greater fondness for rhetorical contrasts put the two as co-ordinate. Madv. 189. *Lat. Gr.* 458. Buttm. *Ind. Mid.* s. v. *μέν*. "but what I am surprised at is that you formerly withstood . . . and yet now . ."

τῶν Ἑ. δικαίων] "bellum Boeotium dicit Dem. A.C. 378 susceptum, ut Lacedaemonii servatâ pace Antalcideâ reliquos Graecos liberos suique juris esse (haec sunt *τὰ Ἑ. δίκαια* sive *τὰ κοινὰ δ. τῶν Ἑλλήνων*. 6. 10; 15. 29; Isocr. 8. 67) sinerent." Fr. These rights as defined by the peace were *τοὺς Ἕλληνας αὐτονόμους εἶναι καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων ἐξιέναι καὶ τὰς αὐτῶν ἔχειν ἑκάστους*. Isocr. 8. 16. Grote, 10. 79 sq. cf. 4. 3, where Aesch. 2. 137 ought to have been quoted, *ὑμῖν . . ἔπεμψεν ἐπιστολὴν . . ἐξιέναι . . βοηθήσοντας τοῖς δικαίοις*.

ἀντήρατε] "you withstood." 6. 5. Don. p. 425.

πολλὰ . . πολλάκις] here separated in order to throw emphasis on each, as in 20. 166, *πολλὰ γὰρ ὑμεῖς . . πολλάκις οὐκ ἐδιδάχθητε*. Observe the conj. after the historical tense. Jelf, 806. 2.

ἰδίᾳ] "selfishly," "at the expense of others."

ἀνηλίσκετε] "you went on spending." 18. 66 and 100.

στρατευόμενοι, νυνὶ δ' ὀκνεῖτε ἐξιέναι καὶ μέλλετε εἰσφέρειν ὑπὲρ τῶν ὑμετέρων αὐτῶν κτημάτων, καὶ τοὺς μὲν ἄλλους σεσώκατε πολλάκις πάντας καὶ καθ' ἕνα αὐτῶν ἕκαστον ἐν μέρει, τὰ δ' ὑμέτερ' αὐτῶν ἀπολωλεκότες κάθησθε. 25. ταῦτα θαυμάζω, καὶ ἔτι πρὸς τούτοις εἰ μηδὲ εἷς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δύναται λογίσασθαι πόσον πολεμεῖτε χρόνον Φιλίππῳ, καὶ τί ποιούντων ὑμῶν ὁ χρόνος διελήλυθεν οὗτος. ἴστε γὰρ δήπου τοῦθ', ὅτι μελλόντων αὐτῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν, αἰτιωμένων ἀλλήλους, κρινόντων, πάλιν ἐλπιζόντων, σχεδὸν ταὐτὰ ἅπερ νυνὶ ποιούντων ἅπας ὁ χρόνος διελήλυθεν. 26. εἶθ' οὕτως ἀγνωμόνως ἔχετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε δι' ὧν ἐκ χρηστῶν φαῦλα τὰ πράγματα τῆς πόλεως γέγονε, διὰ τούτων ἐλπίζετε τῶν αὐτῶν πράξεων ἐκ φαύλων αὐτὰ χρηστὰ γενήσεσθαι; ἀλλ'

π. πάντας] Three times, according to Isocr. 5. 129, *τὴν πατρίδα τὴν αὑτοῦ* (my own) *τὴν τρὶς τοὺς Ἕ. ἐλευθερώσασαν, δὶς μὲν ἀπὸ τῶν βαρβάρων* (at Marathon and Salamis), *ἅπαξ δ' ἀπὸ τῆς Λακεδαιμονίων ἀρχῆς* (by the victory of Cnidus and her exertions in the Corinthian war, as it was called). He uses the same language as Dem. in *Ep.* 2. 19, *σύμπασαν τὴν Ἑλλάδα πολλάκις σέσωκεν.* It is in reference to such boastful assumptions that Theopompus (ap. Theon, *Rhet. Gr.* 2. 67, Speng.) said *καὶ ὅσα ἄλλα ἡ Ἀθηναίων πόλις ἀλαζονεύεται καὶ παρακρούεται τοὺς Ἕλληνας.*

καθ' ἕνα αὐτῶν ἕ.] as Euboea (18. 99; 1. 8); Thebes and Sparta (16. 14) 23. 191, *οὐδὲ γὰρ Λακεδαιμονίους ὅτ' ἐσῴζομεν . . οὐδὲ Θηβαίους οὐδὲ Εὐβοέας τὰ τελευταῖα νυνί.* The construction is *ἕκαστον αὐτῶν καθ' ἕνα.* 5. 25, *πρὸς ἑκάστους καθ' ἕνα.* 9. 35; 21. 142. cf. Buttm. *Ind. Mid.* *κατά* is of course used in a distributive sense. "and after often saving the rest all together and each singly in turn (collectively and singly), sit down quietly under the loss of . ."

§ 25. **ταῦτα θ.**] "this I say I wonder at . ."

πολεμεῖτε] Madv. 110 *a*, r. 1. If we assume the war to have commenced with the capture of Amphipolis B.C. 358, it was then in its tenth year.

τί ποιούντων ὑ.] "what you have been doing while . ." Madv. 176 *a*, coll. 181.

ἴστε γὰρ δήπου] a common expression in Dem. 5. 20; 20. 26, &c. "you must know that while . ." On the subject of this sentence cf. 4. 7; 14. 15, *ὅσα δὲ ἠβουλήθητε μέν, μετὰ ταῦτα δ' ἀπεβλέψατε πρὸς ἀλλήλους ὡς αὐτὸς μὲν ἕκαστος οὐ ποιήσων, τὸν δὲ πλησίον πράξοντα, οὐδὲν πώποθ' ὑμῖν ἐγένετο.* Dem. may have had Thuc. 1. 161 fin. before his mind.

κρινόντων] see note to 4. 47.

§ 26. **εἶθ'**] 1. 24. The meaning is, "then can you be so senseless as to expect that the affairs of the country can be brought from a bad state to a good by a continuance of the acts which have brought them to their present lamentable condition."

οὔτ' εὔλογον οὔτ' ἔχον ἐστὶ φύσιν τοῦτό γε· πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν ἢ κτήσασθαι πάντα πέφυκεν. νυνὶ δὲ ὅ τι μὲν φυλάξομεν, οὐδέν ἐστιν ὑπὸ τοῦ πολέμου λοιπὸν τῶν πρότερον, κτήσασθαι δὲ δεῖ. 27. αὐτῶν οὖν ἡμῶν ἔργον τοῦτ' ἤδη. φημὶ δὴ δεῖν εἰσφέρειν χρήματα, αὐτοὺς ἐξιέναι προθύμως, μηδέν' αἰτιᾶσθαι πρὶν ἂν τῶν πραγμάτων κρατήσητε, τηνικαῦτα δὲ ἀπ' αὐτῶν τῶν ἔργων κρίναντας τοὺς μὲν ἀξίους ἐπαίνου τιμᾶν τοὺς δ' ἀδικοῦντας κολάζειν, τὰς προφάσεις δ' ἀφελεῖν καὶ τὰ καθ' ὑμᾶς ἐλλείμματα· οὐ γὰρ ἔστι πικρῶς ἐξετάσαι τί πέπρακται τοῖς ἄλλοις, ἂν μὴ παρ' ὑμῶν αὐτῶν πρῶτον ὑπάρξῃ τὰ δέοντα. 28. τίνος γὰρ ἕνεκα, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε τοῦτον μὲν φεύγειν τὸν πόλεμον πάντας ὅσους ἂν ἐκπέμψητε στρατηγούς, ἰδίους δ' εὑρίσκειν πολέμους, εἰ δεῖ τι τῶν ὄντων καὶ περὶ τῶν στρατηγῶν εἰπεῖν. ὅτι ἐνταῦθα μέν ἐστι τὰ ἆθλα, ὑπὲρ ὧν ἐστιν ὁ πόλεμος, ὑμέτερα· Ἀμφίπολις κἂν ληφθῇ, παραχρῆμα αὐτὴν ὑμεῖς κομιεῖσθε· οἱ δὲ κίνδυνοι τῶν ἐφεστηκότων ἴδιοι, μισθὸς δ' οὐκ ἔστιν· ἐκεῖ δὲ κίνδυνοι μὲν ἐλάττους, τὰ δὲ

τοῦτό γε] emphatic; "but surely *that* is neither reasonable nor natural." 10. 28, *ἔστι μὲν οὐκ ὀρθῶς ἔχον.* 18. 13; 20. 18 al. The construction of the next words is *πέφυκε πολὺ ῥ. ἔχοντας φ. πάντα ἢ κτ.* "for in the nature of things it is in all cases . ." 1. 23.

ὑπὸ . . λοιπόν] supr. § 9. "left us nothing to keep." (Madv. 115 *a*, r.) With the rhetorical turn *κτήσασθαι δὲ δεῖ* in place of "we have lost every thing," comp. 20. 115, *τότε μὲν γὰρ ἡ πόλις ἡμῶν καὶ γῆς εὐπόρει καὶ χρημάτων, νῦν δ' εὐπορήσει.*

§ 27.] For the emphatic position of *ἤδη* cf. 4. 8; 6. 33; 19. 19, 179 al.

τῶν πραγμάτων] "your objects," the deliverance of Olynthus.

ἀπ' αὐτῶν τῶν ἔργων] "judging solely from their acts," and not from reports or partial statements. Madv. 39. 2. Compare what is said in 4. 46, 47; also Thuc. 3. 38.

τὰς προφάσεις] "the excuses pleaded" by your generals; more fully dwelt on in 4. 25.

καθ' ὑμᾶς] "on your own part."

ὑπάρξῃ] in its constant sense of "being ready beforehand;" "unless you have first done your duty yourselves."

§ 28. **εὑρίσκειν**] here "to seek out;" "what do you suppose is the reason why all the generals you send out avoid *this* war, and seek out wars of their own?" *αἰνίττεται εἰς Χάρητα.* Schol. cf. 4. 24. Aesch. 2. 73. For the emphatic position of *Ἀμφίπολις* cf. 4. 29 and 43. Dind. in his last edition has introduced his conj. *Ἀμφίπολιν, κἂν λ.* into the text, omitting *αὐτήν* with S.

κομιεῖσθε] "will recover it."

ἐκεῖ] i. e. in the *ἴδιοι πόλεμοι.* cf. Ps. Dem. 13. 6.

τὰ . . λήμματα] "*ἆθλα* sunt proemia belli honesti, *λήμματα* quaestus

λήμματα τῶν ἐφεστηκότων καὶ τῶν στρατιωτῶν, Λάμψακος Σίγειον, τὰ πλοῖα ἃ συλῶσιν. ἐπ' οὖν τὸ λυσιτελοῦν αὐτοῖς ἕκαστοι χωροῦσιν. 29. ὑμεῖς δέ, ὅταν μὲν εἰς τὰ πράγματα ἀποβλέψητε φαύλως ἔχοντα, τοὺς ἐφεστηκότας κρίνετε, ὅταν δὲ δόντες λόγον τὰς ἀνάγκας ἀκούσητε ταύτας, ἀφίετε. περίεστι τοίνυν ὑμῖν ἀλλήλοις ἐρίζειν καὶ διεστάναι, τοῖς μὲν ταῦτα πεπεισμένοις τοῖς δὲ ταῦτα, τὰ κοινὰ δ' ἔχειν φαύλως. πρότερον μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, εἰσεφέρετε κατὰ συμ-

belli inhonesti, *τῆς λῃστείας: λῆμμα* enim fere dicitur sensu deteriore." Schäf. cf. 5. 5; *λαμβάνειν* 7. 17; 8. 35 al. Lampsacus and Sigeum were taken by Chares and kept by him as his own. In 23. 139 it is represented as characteristic of all leaders of mercenaries that *πόλεις καταλαμβάνοντες Ἑλληνίδας ἄρχειν ζητοῦσιν*.

πλοῖα . . συλῶσιν] Grote, 11. 312. Dem. 8. 9, 24, 25; Aesch. 2. 72.

ἐπ' . . χωροῦσιν] "so they turn . ." Lys. 31. 6, *παρέντες τὸ τῆς πόλεως ἀγαθὸν ἐπὶ τὸ ἑαυτῶν ἴδιον κέρδος ἔλθοιεν*.

§ 29. **φ. ἔχοντα**] "at the wretched state of your affairs."

τὰς ἀνάγκας] "on your allowing them to speak for themselves you hear these necessities pleaded;" supr. 27. Grote, 11. 312.

τοίνυν] "so the result is that . . while (*δέ*) the public interests are going to ruin."

πρότερον μὲν γάρ, κ.τ.λ.] This passage, on which a great deal of learning and ingenuity has been wasted, has nothing to do w th the Symmories properly so called, but is merely, in explanation of what has preceded, a comparison between the organization of the two parties in the assembly (*τοῖς μὲν . . τοῖς δέ*,—hence *ἑκατέρων*), and that of the Symmories. At the head of each was an orator, under him a general whose acts he defended in the assembly, corresponding respectively to the *ἡγεμών* and *ἐπιμελητής* of a Symmory proper. Attached to each of these (Ps. Dem. 13. 20, *καὶ οἱ βοησόμενοι μεθ' ἑκατέρων τριακόσιοι*), and representing the 300 richest citizens (cf. *Gr. and Rom. Ant.* s. v. *εἰσφορά*), was a body of partisans who shouted and applauded the speeches of their orators. (There is some doubt as to the reading. Bekk. has *οἱ τριακόσιοι* with S, which MS. alone has the art. On each side there was a body of partisans who stood to it in the same position as the 300 to the Symmories, and by a common idiom are identified with them. Dind. reads *οἱ β. τριακόσιοι*; which is possibly right.) The rest of the citizens were attached to one or the other, like the ordinary members of the Symmories, without voice or influence in the direction of things. The real meaning of the passage therefore is substantially the same as in 3. 30 sq. cf. Ps. Dem. 13. 20. Aesch. (3. 7) alludes to these alliances between the orators and the generals: *μηδὲ τὰς τῶν στρατηγῶν συνηγορίας, οἳ πολὺν ἤδη χρόνον συνεργοῦντές τισι τῶν ῥητόρων λυμαίνονται τὴν πολιτείαν*. cf. Thirl. 5. 243. "formerly you had boards for the property-tax, but now you have boards for politics. An orator is at the head of either party, and a general under him, and the 300 to shout; while the rest of you are attached some to one party, some to the other."

μορίας, νυνὶ δὲ πολιτεύεσθε κατὰ συμμορίας. ῥήτωρ ἡγεμὼν ἑκατέρων, καὶ στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βοησόμενοι, οἱ τριακόσιοι· οἱ δ' ἄλλοι προσνενέμησθε οἱ μὲν ὡς τούτους οἱ δὲ ὡς ἐκείνους. 30. *δεῖ δὴ ταῦτα ἐπανέντας καὶ ὑμῶν αὐτῶν ἔτι καὶ νῦν γενομένους κοινὸν καὶ τὸ λέγειν καὶ τὸ βουλεύεσθαι καὶ τὸ πράττειν ποιῆσαι. εἰ δὲ τοῖς μὲν ὥσπερ ἐκ τυραννίδος ὑμῶν ἐπιτάττειν ἀποδώσετε, τοῖς δ' ἀναγκάζεσθαι τριηραρχεῖν εἰσφέρειν στρατεύεσθαι, τοῖς δὲ ψηφίζεσθαι κατὰ τούτων μόνον, ἄλλο δὲ μηδ' ὁτιοῦν συμπονεῖν, οὐχὶ γενήσεται τῶν δεόντων ὑμῖν οὐδὲν ἐν καιρῷ· τὸ γὰρ ἠδικημένον ἀεὶ μέρος ἐλλείψει, εἶθ' ὑμῖν τούτους κολάζειν ἀντὶ τῶν ἐχθρῶν περιέσται.* 31. *λέγω δὴ κεφάλαιον, πάντας εἰσφέρειν ἀφ' ὅσων ἕκαστος ἔχει, τὸ ἴσον πάντας ἐξιέναι κατὰ μέρος, ἕως ἂν ἅπαντες στρατεύσησθε· πᾶσι*

§ 30. **δεῖ δή**] "this then you must leave off, and becoming even now your own masters . ." cf. 4. 7.

κοινόν] "free to all." Pl. *Meno* 91 B, *ἀποφήναντας αὐτοὺς κοινοὺς τῶν Ἑλλήνων τῷ βουλομένῳ μανθάνειν*. Thuc. 2. 39.

τοῖς μέν] i. e. the orators and generals. In 3. 31 the general term *οἱ πολιτευόμενοι* is used.

ὑμῶν depends on *τυραννίδος*, as in 18. 66, *τυραννίδα τῶν Ἑλλήνων*, "as if they were your lords and masters," "as if in the exercise of lordship over you," so that *ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε*. 3. 31.

τοῖς δ'] those referred to in *οἱ ἄλλοι* . .

ἀναγκάζεσθαι] As the Strategi held a judicial court to decide disputes about the trierarchy and rating to the property-tax (cf. Ps. Dem. 42), and had to make out the list of those liable to serve, they would be able in many ways to help their friends, and throw the duties they ought to have performed upon others. Allusions are not unfrequent to abuses of their power over the *κατάλογος*. cf. Arist. *Eq.* 1369; *Pax* 1179. The ninth speech of Lysias is on a case of this kind: cf. id. 25. 16.

τοῖς δὲ ψ.] i. e. the cliques who carried the votes to the assembly, and used their power to throw burdens as much as possible upon others.

τὸ . . μέρος] "the class aggrieved will constantly fail you,"—will not be able to perform the duties (*τριηραρχεῖν* &c.) unjustly thrown upon them. Compare what Dem. says in regard to the trierarchy before he introduced his law (B.C. 340). 18. 102 sq. 108, *τὸ δ' αἴτιον, ἐν τοῖς πένησιν ἡ τριηραρχία· πολλὰ δὴ τὰ ἀδύνατα συνέβαινεν*.

For **περιέσται**, "you will have to," Sauppe reads *ἔξεσται* with S.

§ 31. **κεφάλαιον**] "I recommend then in sum that all should . ." 18. 213, *τὸ δ' οὖν κεφάλαιον, ἠξίουν* . . 20. 78, *ἑνὶ δὲ κεφαλαίῳ· μόνος οὐκ ἀπώλεσεν*. Thuc. 6. 6.

τὸ ἴσον] "in equal proportion," to obviate the hardships mentioned in the last section: cp. 18. 104, *τὸ γιγνόμενον κατὰ τὴν οὐσίαν*. On the whole passage see Böckh, *Publ. Econ.* 4, c. 9 ad fin.

κατὰ μέρος] "in turn;" the *ἐκ διαδοχῆς* of 4. 21.

τοῖς παριοῦσι λόγον διδόναι, καὶ τὰ βέλτιστα ὧν ἂν ἀκούσητε αἱρεῖσθαι, μὴ ἃ ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα εἴπῃ. κἂν ταῦτα ποιῆτε, οὐ τὸν εἰπόντα μόνον παραχρῆμα ἐπαινέσεσθε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, βέλτιον τῶν ὅλων πραγμάτων ὑμῖν ἐχόντων.

λ. διδόναι] "give a hearing." supr. 29.

ὁ δ. ἢ ὁ δεῖνα] "what this person or that." Don. 412, *b b*. No doubt Eubulus and his friends are meant.

ἐπαινέσεσθε] "alia [verba] sunt, quorum utraque forma usu trita est, veluti *ἐπαινέσω* et *ἐπαινέσομαι*, *ἐγκωμιάσω* et *ἐγκωμιάσομαι*, *ἀπολαύσω* et *ἀπολαύσομαι*, *διώξω* et *διώξομαι*." Cobet (*Hyp. Fun. Or.* p. 29). I quote this to point out that Cobet is wrong in regard to *ἀπολαύσω*, which in Dem. would be the 1st aor. subj., the only future known to him, Plato, &c. being *ἀπολαύσομαι*.

τῶν ὅ. πρ.] 1. 3.

ὑμῖν] "when you see."

ΟΛΥΝΘΙΑΚΟΣ Γ.

ΥΠΟΘΕΣΙΣ. Ἔπεμψαν βοήθειαν τοῖς Ὀλυνθίοις οἱ Ἀθηναῖοι, καί τι κατορθοῦν ἔδοξαν δι' αὐτῆς, καὶ ταῦτα αὐτοῖς ἀπηγγέλλετο. ὁ δὲ δῆμος περιχαρής, οἵ τε ῥήτορες παρακαλοῦσιν ἐπὶ τιμωρίαν Φιλίππου. δέδοικε τοίνυν ὁ Δημοσθένης μὴ θαρσήσαντες, ὡς τὰ πάντα νενικηκότες καὶ ἱκανὴν βοήθειαν πεποιημένοι τοῖς Ὀλυνθίοις, τῶν λοιπῶν ὀλιγωρήσωσι. διὰ τοῦτο παρελθὼν ἐπικόπτει τὴν ἀλαζονείαν αὐτῶν καὶ πρὸς εὐλάβειαν σώφρονα τὴν γνώμην μεθίστησι, λέγων οὐ περὶ τῆς Φιλίππου τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῆς τῶν συμμάχων σωτηρίας· οἶδε γὰρ ὅτι καὶ Ἀθηναῖοι καὶ ἄλλοι πού τινες τοῦ μὲν μὴ τὰ οἰκεῖα προέσθαι ποιοῦνται φροντίδα, περὶ δὲ τὸ τιμωρήσασθαι τοὺς ἐναντίους ἧττον σπουδάζουσιν. ἐν δὲ τούτῳ τῷ λόγῳ καὶ τῆς περὶ τῶν θεωρικῶν χρημάτων συμβουλῆς φανερώτερον ἅπτεται, καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους τοὺς ἐπιτιθέντας ζημίαν τοῖς γράψασιν αὐτὰ γενέσθαι στρατιωτικά, ἵν' ἀδεὲς ᾖ τὸ συμβουλεύειν τὰ βέλτιστα. παραινεῖ δὲ καὶ ὅλως πρὸς τὸν τῶν προγόνων ζῆλον ἀναστῆναι καὶ στρατεύεσθαι σώμασιν οἰκείοις, καὶ ἐπιτιμήσει πολλῇ κέχρηται κατὰ τοῦ δήμου τε ὡς ἐκλελυμένου καὶ τῶν δημαγωγῶν ὡς οὐκ ὀρθῶς προϊσταμένων τῆς πόλεως.

1. *Οὐχὶ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν, ὦ ἄνδρες*

ARGUMENT.—**Ἔπεμψαν β.**] Notwithstanding the earnest exhortations to personal service addressed to them by Demosthenes, the Athenians could not be induced to take the field themselves, but some time after the second speech was delivered sent out a body of mercenaries, the outfit and transport of which was it seems defrayed by the voluntary contributions of the richer citizens (21. 161). It gained some success (§ 36), which reported at Athens gave rise to the talk about punishing Philip mentioned at the beginning of the speech. To correct this idea, and show them the real state of the case, Demosthenes came forward with the third Olynthiac.

ἐπικόπτει] cf. Grote, 11. 469.

φανερώτερον] i. e. than in 1. 19. cf. § 10 sq.

παραινεῖ] § 23 sq.

προγόνων] § 23 sq.

ἐπιτιμήσει] § 30 sq.

§ 1. **οὐχὶ ταὐτά**] "not the same" (but different; the negative being privative, so that the expression forms a kind of litotes suggesting the reverse of what is actually said.

Ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω καὶ ὅταν πρὸς τοὺς λόγους οὓς ἀκούω· τοὺς μὲν γὰρ λόγους περὶ τοῦ τιμωρήσασθαι Φίλιππον ὁρῶ γιγνομένους, τὰ δὲ πράγματα εἰς τοῦτο προήκοντα ὥστε ὅπως μὴ πεισόμεθα αὐτοὶ πρότερον κακῶς σκέψασθαι δέον. οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες ἢ τὴν ὑπόθεσιν, περὶ ἧς βουλεύεσθε, οὐχὶ τὴν οὖσαν παριστάντες ὑμῖν ἁμαρτάνειν. 2. ἐγὼ δ' ὅτι μέν ποτ' ἐξῆν τῇ πόλει καὶ τὰ αὑτῆς ἔχειν ἀσφαλῶς καὶ Φίλιππον τιμωρήσασθαι, καὶ μάλα ἀκριβῶς οἶδα· ἐπ' ἐμοῦ γάρ, οὐχὶ πάλαι γέγονε ταῦτα ἀμφότερα· νῦν μέντοι πέπεισμαι τοῦθ' ἱκανὸν προλαβεῖν ἡμῖν εἶναι τὴν πρώτην,

So in this section *οὐχὶ τὴν οὖσαν*. 2. 3, *οὐχὶ καλῶς*. 4. 54, *οὐχ ὥσπερ*. Thuc. 6. 57, *οὐ ῥᾳδίως διετέθη*, Mitford's mistranslation of which is noticed by Thirl. 2. 69, note. cf. Jelf, 738. 2, obs. 1.) "thoughts suggest themselves when . ."

παρίσταται] "it occurs to me," generally with *δόξα* (*Oed. Tyr.* 911), or *τοῦτο* (*τόδε*) Dem. 4. 17; Thuc. 6. 68. But as here in Thuc. 4. 95 *παραστῇ δὲ μηδενὶ ὑμῶν ὡς* .. Pl. *Phaed.* p. 58 E. cf. Dem. 6. 6.

εἰς . . πρός] a rhetorical variation, as in 2. 1. Aesch. 3. 168, *ἐὰν μὲν . . πρὸς τὴν εὐφημίαν . . ἀποβλέπετε . . ἐὰν δ' εἰς τὴν φύσιν*. The passage is obviously imitated in Sall. *Cat.* c. 52.

γιγνομένους] This is the regular word with *λόγοι*. cf. 6. 1; 9. 3 al.

εἰς τοῦτο πρ.] "are come to this." 1. 8.

ὥστε . . . δέον] Sauppe, after Klotz, supposes *δέον* to depend on *ὁρῶ*, and to be used after the preceding participle *προήκοντα* by a kind of attraction, as in Ps. Dem. 10. 40, where see the note. This is also Madvig's view (266 *a*, r. note 1). Dind. less plausibly understands *εἶναι*, or *ἐστί*; though *δέον*, *προσῆκον*, &c., are often, it is true, used without the substantive verb. cf. Lys. 25. 7; Isae. 6. 50, *ἰδεῖν ἃ οὐκ ἐξὸν αὐτῇ*, "so that we must take care we do not first suffer damage ourselves."

πεισόμεθα] Bekk. from Υ Ω; cet. *πεισώμεθα*. cf. on 1. 2, *βοηθήσετε*.

οὐδὲν . . ἄλλο . . ἤ] Madv. 2. 15 *b*, r. 1; Buttm. *Ind. Mid.* s. v. *ἄλλος*. In 8. 10 and 27; 9. 2 we have the full expression *οὐδὲν ἄλλο ποιοῦσιν ἤ*, in which passages Cobet (*Nov. Lect.* p. 320) unnecessarily proposes to omit *ποιοῦσιν*. "those therefore who hold such language seem to me simply to commit the blunder of putting before you as the subject of your present deliberation what is not the real one"—"erat autem *ἡ οὖσα* ut Olynthii juvarentur." H. Wolf.

§ 2. **καὶ μάλα ἀ.**] "I know perfectly well." The *epitatic* use of *καί*, as in *καὶ πάνυ* 5. 15; *καὶ μάλ' ὀρθῶς δοκεῖ* 8. 48.

ἐπ' ἐμοῦ] "in my time," "within my memory." 2. 14; infr. 21.

τὴν πρώτην] "as the first step," "in the first instance." 4. 23. Compare for the gender *τὴν ἄλλως*, 3. 21; *τὴν ὀρθήν*, 8. 3; *ἀπὸ πρώτης*, Thuc. 1. 77; *ἀπὸ τῆς ἴσης*, id. 3. 40; *ἐξ ἐναντίας*, *Eth. Nic.* 8. 1. 6; *ἐκ ταχείας*, Soph. *Trach.* 395; *ἐξ ἑκουσίας*, ibid. 725, &c. Lobeck (*Paral. Gr.* p. 363), after pointing out that the feminine substantives generally supplied are in many cases not applicable, says very sensibly,

ὅπως τοὺς συμμάχους σώσομεν. ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις ἐκεῖνον ἐξέσται σκοπεῖν· πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντινοῦν ποιεῖσθαι λόγον.

3. Ὁ μὲν οὖν παρὼν καιρός, ὦ ἄνδρες Ἀθηναῖοι, εἴπερ ποτέ, πολλῆς φροντίδος καὶ βουλῆς δεῖται· ἐγὼ δὲ οὐχ ὅ τι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι χαλεπώτατον ἡγοῦμαι, ἀλλ' ἐκεῖν' ἀπορῶ, τίνα χρὴ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς περὶ αὐτῶν εἰπεῖν. πέπεισμαι γὰρ ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα, τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν ἢ τῷ μὴ συνι-

"quare sic potius existimandum videtur, Graecos a notionibus simplicibus progressos maximeque obviis, quae sunt situs, viae et directionis, hinc similitudinem traduxisse ad actionum humanarum directiones et modos."

ὅπως . . σώσομεν] "I mean how we are to save," explaining *τοῦτο*. *Anab.* 4. 6. 10, *τοῦτο παρασκευάσασθαι ὅπως ὡς ἄριστα μαχούμεθα*. Jelf, 657. 2 *b*. S has *σώσωμεν* here, as above *πεισώμεθα*.

ἐὰν γάρ] "when this has been effectively secured we (Jelf, 653) may then go on (*καί*) to consider the question how we are to punish him; but before we have laid the foundation rightly (2. 10, *τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις*), I consider it idle to say any thing whatever about the end,"—before we have saved Olynthus, it is idle and worse than idle to talk about punishing Philip.

§ 3. **οὖν**] as 1. 2. With *εἴπερ ποτέ*, if any thing is to be understood, we must supply *ἔδει*, "if ever crisis did." On the omission of *εἶναι* with *χαλεπώτατον* see note to 2. 1.

ἐκεῖν' ἀπορῶ] Madv. 27 *a*. "but what I am doubtful about is . ."—*ἐκεῖνο* referring to what follows, as in 2. 24 and *passim*.

ἐξ ὧν . . σύνοιδα] "I am convinced by what I have seen and heard." 4. 24, *οἶδ' ἀκούων*: ibid. § 3, and so perpetually in the orators in reference to facts of history, appeal being never made to books or the knowledge derived from them.—*σύνοιδα* is often used without a dat. in the sense of *personal knowledge or observation*, as opposed to *hearsay*. Thuc. 1. 73, *τὰ μὲν πάνυ παλαιὰ τί δεῖ λέγειν, ὧν ἀκοαὶ μᾶλλον λόγων μάρτυρες . . τὰ δὲ Μηδικὰ καὶ ὅσα αὐτοὶ ξύνιστε*. Dem. 20. 13, *οὐκ οἶδ'* (= *οἶδ' ἀκούων*, "have heard") *οὐδὲ λέγω φλαῦρον οὐδὲν οὐδὲ σύνοιδα*, where see F. A. Wolf. *Oed. Tyr.* 704. Buttm. *Ind. Mid.* s. v. Here therefore it belongs more strictly to *παρών*.

πραγμάτων] "your advantages," "your interests have escaped you." 5. 2; 18. 33; 19. 123.

βούλεσθαι] as infr. § 11; on the other hand *ἐθέλειν*, § 14; 9. 4, with the usual distinction between the words. He had already told them all this in 15. 1. cf. also 23. 145.

ἢ (so Bekk. st.; Dind. has *οὐ*) depending on the comparative *τὰ πλείω*. Soph. *Antig*. 313. "in more instances from a want of disposition to do your duty than from ignorance of it."

έναι. ἀξιῶ δὲ ὑμᾶς, ἂν μετὰ παρρησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, τοῦτο θεωροῦντας εἰ τἀληθῆ λέγω, καὶ διὰ τοῦτο, ἵνα τὰ λοιπὰ βελτίω γένηται· ὁρᾶτε γὰρ ὡς ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν ἐνίους εἰς πᾶν προελήλυθε μοχθηρίας τὰ παρόντα.

4. *Ἀναγκαῖον δὲ ὑπολαμβάνω μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι. μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτ' ἀπηγγέλθη Φίλιππος ὑμῖν ἐν Θρᾴκῃ τρίτον ἢ τέταρτον ἔτος τουτὶ Ἡραῖον τεῖχος πολιορκῶν. τότε τοίνυν μὴν μὲν ἦν μαιμακτηριών, πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ὑμῖν ἐψηφίσασθε τετταράκοντα τριήρεις καθέλκειν καὶ τοὺς μέχρι πέντε καὶ τετταράκοντα ἐτῶν αὐτοὺς ἐμβαίνειν καὶ τάλαντα ἑξήκοντα εἰσφέρειν.* 5. *καὶ μετὰ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου ἑκατομβαιὼν μεταγειτνιὼν βοηδρομιών· τούτου τοῦ μηνὸς μόγις μετὰ τὰ μυστήρια*

μετὰ π.] 2. 3.

ποιῶμαι τοὺς λ.] = λέγω. Cognate accusatives might similarly be substituted for most if not all Greek verbs. cf. Cobet, *Nov. Lect.* p. 259.

ὑπομένειν] "bear with me."

διὰ τοῦτο] "with a view to things being better for the future," "to future amendment." On this sense of *διά* cf. Mr. Shilleto's note *De F. Leg.* § 291.

πρὸς χ. δ.] see on § 22; 4. 38; Aesch. 3. 127, *τἀληθὲς ἐρῶ· τὸ γὰρ ἀεὶ πρὸς ἡδονὴν λεγόμενον οὑτωσὶ τὴν πόλιν διατέθεικεν.*

εἰς πᾶν . . μ.] *τὰ παρόντα* cannot strictly be said to have *προελήλυθε*. The meaning is "our affairs have gone on from bad to worse till now they are in an utterly wretched state." cf. 6. 2; 9. 2. Thuc. 7. 55, *ἐν παντὶ δὴ ἀθυμίας ἦσαν.* Dem. 22. 16, *εἰς τοῦτ' ἐληλύθει τοῦ νομίζειν.* Madv. 49 *b* and r. 1.

§ 4.] **μικρά** = *ὀλίγα*, as in § 14; 18. 270, &c. cf. Lyc. § 20 *βραχέα . . διαλεχθῆναι.* Both accusatives of course follow *ὑπομνῆσαι*, as in 18. 17 (where Bekk. now, wrongly I think, follows S in omitting *ὑμᾶς*), and 19. 25. West. needlessly takes *μικρά* in an adverbial sense.

μέμνησθε . . ὅτ'] "you remember when P. was reported to you . ." 14. 7; Thuc. 2. 21. Madv. 178 *a*, r. 5, note.

τρίτον . . ἔτος] "some three or four years ago." Madv. 30, r. See Thirl. 5. 301; Grote, 11. 428.

τοίνυν] "well, it was then . ."

παρ' ὑμῖν] "in a long and excited debate in the assembly." cf. Aesch. 2. 72. Observe the singular *γιγνομένου* without reference to *λόγων*, as in *Ranae* 24, *αὐτός, τὰ παιδί', ἡ γυνή, Κηφισοφῶν ἐμβὰς καθήσθω.* Dem. 19. 24; 21. 13, *λόγων καὶ λοιδορίας γιγνομένης.*

μέχρι] "up to," "under;" 4. 21, *ἐξ ἧς ἄν τινος ἡλικίας.* The urgency of the occasion was shown by their calling out all the citizens (*αὐτούς*) liable to foreign service.

§ 5. **ἑκατομβαιών, κ.τ.λ.**] "Hecatombaeon, M., B., came; . ." Compare the form of sentence in Aesch. 3. 62, *μετὰ ταῦτα ἐπῄει ὁ χρόνος· Θεμιστοκλῆς ἄρχων· ἐνταῦθ' . .*

τούτου τοῦ μηνός] "in the course of the last-named month you re-

δέκα ναῦς ἀπεστείλατε ἔχοντα κενὰς Χαρίδημον καὶ πέντε τάλαντα ἀργυρίου. ὡς γὰρ ἠγγέλθη Φίλιππος ἀσθενῶν ἢ τεθνεώς (ἦλθε γὰρ ἀμφότερα), οὐκέτι καιρὸν οὐδένα τοῦ βοηθεῖν νομίσαντες ἀφεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ἀπόστολον. ἦν δ' οὗτος ὁ καιρὸς αὐτός· εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, ὥσπερ ἐψηφισάμεθα, προθύμως, οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ Φίλιππος σωθείς.

6. Τὰ μὲν δὴ τότε πραχθέντα οὐκ ἂν ἄλλως ἔχοι· νῦν δ' ἑτέρου πολέμου καιρὸς ἥκει τις, δι' ὃν καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. τί δὴ χρησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τούτῳ; εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει κατὰ τὸ δυνατόν, θεάσασθε ὃν τρόπον ὑμεῖς ἐστρατηγηκότες πάντα ἔσεσθε ὑπὲρ Φιλίππου. 7. ὑπῆρχον Ὀλύνθιοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ' οὕτω τὰ πράγματα· οὔτε Φίλιππος ἐθάρρει τούτους οὔθ' οὗτοι Φίλιππον. ἐπράξαμεν

luctantly after the mysteries celebrated during nine days, from 15th to the 23rd of Boëdromion, which answered to the latter half of September and former half of October.

κενάς] i. e. πολιτικῆς βοηθείας, Schol. ὅ ἐστι ξένους ἀντὶ Ἀθηναίων ἐχούσας, as another Schol. says. They were handed over to Charidemus to be manned by his mercenaries. The resolution αὐτοὺς ἐμβαίνειν had therefore fallen to the ground; a proof of what he said in § 3; cf. 4. 43. Grote, 11. 429.

ἦλθε] "for both reports came." Sauppe says "raro de nuntiis allatis." cf. Thuc. 1. 61; 3. 33; 8. 96; also Thuc. 6. 104, ἀγγελίαι ἐφοίτων.

καιρὸν . . τοῦ β.] "occasion for succours." Thuc. 5. 13, νομίσαντες οὐδένα καιρόν (sc. τοῦ ἄγειν τὴν στρατιάν) εἶναι ἔτι.

ἀφεῖτε] Bekk. with Υ; ἀφίετε F S, Sauppe; cet. ἀφήκατε. Dind. ἠφίετε. cf. Cobet, *Nov. Lect.* p. 378.

ὁ κ. αὐτός] "*the* opportunity itself," "the very opportunity."

οὐκ ἂν ἠνώχλει] "Philip would not have escaped to trouble us now," "to trouble us as he is doing." 1. 9, ἂν ἐχρώμεθα.

§ 6. **οὐκ . . . ἔχοι**] "cannot be altered." cf. 18. 192.

καιρὸς . . τις] if not such a golden opportunity as the one we neglected, yet one of considerable value and importance.

δι' ὅν] "the reason why."

τί . . χρησόμεθα] Madv. 21, r. 1.

εἰ γάρ] "because if . ." With the fulness of expression in **παντὶ σθ. κατὰ τὸ δ.** comp. Thuc. 5. 23. Pl. *Rep.* 458 E, εἰς δύναμιν ὅ τι μάλιστα. West. quotes from an inscription βοηθεῖν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν παντὶ σθένει κατὰ τὸ δυνατόν.

ἐστρ. . . . ἔσεσθε] a fut. exact; "observe how you will have conducted the whole war for the benefit of Philip."

§ 7. **ὑπῆρχον**] "there were the O. possessed of some (2. 1) power."

ἐθάρρει] "was without fear of," "trusted." Pl. *Phaedr.* 239 B, τὸ γὰρ τοιοῦτον σῶμα . . οἱ ἐχθροὶ θαρροῦσιν. Madv. 22 *b*.

ἐπράξαμεν] "we effected," "con-

ἡμεῖς κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην· ἣν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ Φιλίππῳ καὶ δυσχερές, πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς διηλλαγμένην πρὸς ἡμᾶς. ἐκπολεμῶσαι δεῖν ᾠόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου· καὶ ὃ πάντες ἐθρύλουν, τοῦτο πέπρακται νυνὶ ὁπωσδήποτε. 8. τί οὖν ὑπόλοιπον, ὦ ἄνδρες Ἀθηναῖοι, πλὴν βοηθεῖν ἐρρωμένως καὶ προθύμως; ἐγὼ μὲν οὐχ ὁρῶ· χωρὶς γὰρ τῆς περιστάσης ἂν ἡμᾶς αἰσχύνης εἰ καθυφείμεθά τι τῶν πραγμάτων, οὐδὲ τὸν φόβον, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν ὁρῶ τὸν τῶν μετὰ ταῦτα, ἐχόντων μὲν ὡς ἔχουσι Θηβαίων ἡμῖν, ἀπειρηκότων δὲ

cluded," an effective aorist expressing the conclusion of the *πράττειν*. So *δοῦναι, κτήσασθαι, θανεῖν*, &c. are effective aorists to *διδόναι, κτᾶσθαι, θνήσκειν*, &c. This is thereverse of that use of the tense noticed on 2. 9—18. 162, *πρᾶξαι ταύτην τὴν φιλίαν*. ibid. 310.

ἡμεῖς] sc. *πρὸς ἐκείνους*. Lys. 24. 14 (Cobet) *οὐθ' ὑμεῖς τούτῳ τὴν αὐτὴν ἕξετε γνώμην, οὐθ' οὗτος* (sc. *ὑμῖν*) *εὖ ποιῶν*. cf. the fuller expressions in 4. 24; 9. 9. Schäfer cannot be right in taking *πρὸς ἡμᾶς* as = *πρὸς ἀλλήλους*, "unter uns;" in this case *αὐτούς* could not be dispensed with. cf. Grote, 11. 496; Dem. 23. 109.

ἐφορμεῖν] explaining *τοῦτο*. "for this was an obstacle, as it were, and annoyance to P. that a great city reconciled to us should be on the watch for the opportunities he offered," "opportunities against him," like a hostile fleet (Thuc. 2. 89). 23. 173, *καιροφυλακεῖ τὴν πόλιν*. 8. 42, *τοῖς δ' ἑαυτοῦ καιροῖς . . ἐφεδρεύειν*. Thuc. 6. 86, *ὅτ' ἂν καιρὸν ἑκάστου λάβωσιν*.

For **ἐκπολεμῶσαι** Dind. has *ἐκπολεμῆσαι* from S, as in 1. 7.

ἐθρύλουν] 1. 7. "*νυνὶ τοῦτο* S in F post *νυνί* erasum quippiam." Bekk. The demonstrative would then be out of its natural place at the head of the sentence, which can only take place when some other word requires special emphasis, which is not the case here.

ὁπωσδήποτε] "hoc nunc factum est ratione quam commemorare nihil attinet." Schäf. "somehow or other," i. e. *γέγονεν αὐτόματον*, as he says in 1. 7.

§ 8. **ἐγὼ μέν**] This is one of the cases in which the second proposition which ought to answer to *μέν* "must be considered as having completely vanished, [so that] *μέν* is used alone (like the Lat. *quidem*) to isolate a person or thing, and remove any thing which might else be expected." Buttm. *Gr. Gr.* p. 426.

περιστάσης ἄν = *ἣ περιέστη ἄν*. Madv. 184 *a*. Bekk. st. now follows F Y in omitting *τῶν*, which he had in brackets; *φόβος* in that case will be the "object of fear," "danger." I follow Dind. in retaining *τῶν*. "for independently of the disgrace that would cover us if we compromised (through indolence or other unworthy motive) any of our interests, I see that the consequences also are not a little to be feared." *ὁ φ. ὁ τῶν μετὰ ταῦτα*, "causa timendi quae inest in iis quae futura sunt."

μικρόν] without *ὄντα*. cf. 4. 18.

ἐχόντων . . ὡς ἔχουσι] an euphemistic mode of expression, especially common in the tragic writers. Aesch. *Agam.* 66; *Oed. Col.* 326, &c. cf. Herm. *Vig.* p. 703. "seeing the T. stand affected to us in the way you know." 5. 15, *Θηβαίους, οὐχ ὡς ἥδιστα ἔχουσι πρὸς ἡμᾶς*: ib.

χρήμασι Φωκέων, μηδενὸς δ' ἐμποδὼν ὄντος Φιλίππῳ τὰ παρόντα καταστρεψαμένῳ πρὸς ταῦτα ἐπικλῖναι τὰ πράγματα. 9. ἀλλὰ μὴν εἴ τις ὑμῶν εἰς τοῦτο ἀναβάλλεται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλεται τὰ δεινά, ἐξὸν ἀκούειν ἄλλοθι γιγνόμενα, καὶ βοηθοὺς ἑαυτῷ ζητεῖν, ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν· ὅτι γὰρ εἰς τοῦτο περιστήσεται τὰ πράγματα ἐὰν τὰ παρόντα προώμεθα, σχεδὸν ἴσμεν ἅπαντες δήπου.

10. Ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἴποι τις ἄν, πάντες ἐγνώκαμεν, καὶ βοηθήσομεν· τὸ δὲ ὅπως, τοῦτο λέγε. μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, θαυμάσητε ἂν παράδοξον εἴπω τι τοῖς πολλοῖς. νομοθέτας καθίσατε. ἐν δὲ τούτοις τοῖς

§ 18. The feeling was fully reciprocated 14. 33, *διὰ τὸ μισεῖν αὐτούς*: ib. § 34; 18. 18, *Θηβαίοις δ' ὁτιοῦν ἂν ἐφησθῆναι παθοῦσιν.*

ὡς ἔπος εἰπεῖν] (S omits εἰπεῖν.) Don. § 607 obs.; Madv. 151. "nothing, so to say," "nothing, or next to nothing, that is proper, is done, or for the sake of which it is worth while to listen to these speeches." The use of the phrase with πάντες, οὐδέν, &c., in order to lower an absolute to a general statement, is common and well known. Pl. *Rep.* 5. 456 B, πολὺ κρατεῖται ἐν ἅπασιν ὡς ἔπος εἰπεῖν τὸ γένος τοῦ γένους, γυναῖκες μέντοι πολλαὶ πολλῶν ἀνδρῶν βελτίους εἰς πολλά· τὸ δ' ὅλον ἔχει ὡς σὺ λέγεις. Hence the use in *Rep.* 1. 341 B, ποτέρως λέγεις τὸν ἄρχοντα . . τὸν ὡς ἔπος εἰπεῖν (in the popular sense) ἢ τὸν ἀκριβεῖ λόγῳ; It is very seldom that we find in

2. ἀλλ' εἰς τοῦτο ἤδη προηγμένα τυγχάνει πάντα τὰ πράγματα τῇ πόλει ὥσθ', ὅσῳ τις ἂν μᾶλλον καὶ φανερώτερον ἐξελέγχῃ Φίλιππον καὶ τὴν πρὸς ὑμᾶς εἰρήνην παραβαίνοντα καὶ πᾶσι τοῖς Ἕλλησιν ἐπιβουλεύοντα, τοσούτῳ τὸ τί χρὴ ποιεῖν συμβουλεῦσαι χαλεπώτερον. 3. αἴτιον δὲ τούτων ὅτι πάντας, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς πλεονεκτεῖν ζητοῦντας ἔργῳ κωλύειν καὶ πράξεσιν οὐχὶ λόγοις δέον, πρῶτον μὲν ἡμεῖς οἱ παριόντες τούτων μὲν ἀφέσταμεν, καὶ γράφειν καὶ συμβουλεύειν, τὴν πρὸς ὑμᾶς ἀπέχθειαν ὀκνοῦντες, οἷα ποιεῖ δέ, ὡς δεινὰ καὶ χαλεπά, ταῦτα διεξερχόμεθα· ἔπειθ' ὑμεῖς οἱ καθήμενοι, ὡς μὲν ἂν εἴποιτε δικαίους λόγους καὶ λέγοντος

prose any such variation in the order of the words as in Pl. *Legg.* 12. 967 C, ἅπανθ' ὡς εἰπεῖν ἔπος. We have also ὡς λόγῳ εἰπεῖν, Herod. 2. 15; ὡς εἰπεῖν, Thuc. 1. 1.

§ 2. **τῇ πόλει**] a dat. of reference: Don. § 459. "But to this point now are all the affairs of the country brought, that the more convincingly and clearly . . the more it is . ." On the part. παραβαίνοντα, 4. 37. After χαλεπώτερον Bekk. st. omits εἶναι with S, pr. m. On the omission, 1. 5.

§ 3. **αἴτιον δέ**] Madv. 197. For πάντας West. reads πάντες from "pr. S," i. e. ἡμεῖς οἱ π. and ὑμεῖς οἱ κ. But the accusative is required by the argument: "the reason is that whereas in all cases those who are seeking to aggrandize themselves ought to be stopped by deeds and actions," neither we the speakers nor you our hearers are prepared for such an energetic course in the case of Philip. Cf. 8. 73, δεῖ δ' ἔργου τῇ πόλει καὶ πράξεώς τινος.

οἱ παριόντες] The full phrase is παριέναι ἐπὶ τὸ βῆμα, Aesch. 1. 64, quoted on 1. 8. But οἱ π. often occurs as a standing expression for "speakers," "the men of the platform," referred to in 4. 1, τῶν εἰωθότων . . Cf. 9. 182; Isocr. 8. 1, οἱ παριόντες ἐνθάδε. Schöm. *Ass. of the Ath.* p. 111, Engl. Tr.

τούτων] explained by καὶ λέγειν καὶ συμβουλεύειν. On the omission of the article see 3. 12. "shrink from these (our proper) duties of making motions and giving advice."

τὴν πρὸς ὑ. ἀ.] "ἡ πρός τινα ἀ. duplicem habet significationem: subjectivam, *odium quo aliquem persequor;* objectivam, *quod est contra me apud aliquem*,"—Bremi, who illustrates the first sense by 18. 36, διὰ τὴν τοθ' ὑποῦσαν ἀπέχθειαν πρὸς τοὺς Θηβαίους, the second by τὴν ἀπέχθειαν πρὸς Θηβαίους in the same section. Cf. Mr. Shill. *de F. Leg.* § 96; Isocr. 8. 167, δείσας τὴν πρὸς ὑμᾶς ἀπέχθειαν, "through fear of incurring your displeasure."

οἷα π. δέ] "but detail his doings, descanting on their heinous and atrocious character." 18. 41, ὁ τὰ Θηβαίων ὀδυρόμενος . . πάθη καὶ διεξιὼν ὡς οἰκτρά.

οἱ κ.] "our hearers," opp. to ἀναστάς as said of the speaker, 4. 1.

ὡς . . ἂν εἴποιτε] Madv. 137; infr. 37. "are better provided for making just speeches . . ." (Pl. *Gorg.* 448 D, καλῶς γε . . φαίνεται Πῶλος παρεσκευάσθαι εἰς λόγους), "but to hinder him from executing what he has now in hand you are wholly unprepared to exert yourselves."

ἄλλου συνείητε, ἄμεινον Φιλίππου παρεσκεύασθε, ὡς δὲ κωλύσαιτ' ἂν ἐκεῖνον πράττειν ταῦτα ἐφ' ὧν ἐστὶ νῦν, παντελῶς ἀργῶς ἔχετε. 4. *συμβαίνει δὴ πρᾶγμα ἀναγκαῖον, οἶμαι, καὶ ἴσως εἰκός· ἐν οἷς ἑκάτεροι διατρίβετε καὶ περὶ ἃ σπουδάζετε, ταῦτ' ἄμεινον ἑκατέροις ἔχει, ἐκείνῳ μὲν αἱ πράξεις ὑμῖν δ' οἱ λόγοι. εἰ μὲν οὖν καὶ νῦν λέγειν δικαιότερα ὑμῖν ἐξαρκεῖ, ῥᾴδιον, καὶ πόνος οὐδεὶς πρόσεστι τῷ πράγματι·* 5. *εἰ δ' ὅπως τὰ παρόντ' ἐπανορθωθήσεται δεῖ σκοπεῖν, καὶ μὴ προελθόντα ἔτι πορρωτέρω λήσει πάντας ἡμᾶς, μηδ' ἐπιστήσεται μέγεθος δυνάμεως πρὸς ἣν οὐδ' ἀνταραι δυνησόμεθα, οὐχ ὁ αὐτὸς τρόπος ὅσπερ πρότερον τοῦ βουλεύεσθαι, ἀλλὰ καὶ τοῖς λέγουσιν ἅπασι καὶ τοῖς ἀκούουσιν ὑμῖν τὰ βέλτιστα καὶ τὰ σώσοντα τῶν ῥᾴστων καὶ τῶν ἡδίστων προαιρετέον.*

6. *Πρῶτον μέν, εἴ τις, ὦ ἄνδρες Ἀθηναῖοι, θαρρεῖ ὁρῶν ἡλίκος ἤδη καὶ ὅσων κύριός ἐστι Φίλιππος, καὶ μηδένα οἴεται κίνδυνον φέρειν τοῦτο τῇ πόλει μηδ' ἐφ' ὑμᾶς πάντα παρα-*

ἐφ' ὧν ἐστί] Cf. 4. 7. Arist. *Nic. Eth.* 9. 6. 3, *οὗτοι γὰρ καὶ ἑαυτοῖς ὁμονοοῦσι καὶ ἀλλήλοις, ἐπὶ τῶν αὐτῶν ὄντες, ὡς εἰπεῖν.*

§ 4. **πρᾶγμα**] "there follows a result."

ἐν οἷς] for this asyndeton cf. infr. 17, *ἄρχειν βούλεται*: 4. 14, *ἐπειδὰν* . . : 9. 1.

διατρίβετε, κ.τ.λ.] "on which you employ yourselves, and in which you take a lively interest." Arist. *Rhet.* 2. 2. 2, *διατρίβουσιν ἐν τῷ τιμωρεῖσθαι τῇ διανοίᾳ.* For *ἔχει* the Zurich editors and West. read *ἔχειν*, with S, depending on *συμβαίνει.*

ῥ., καὶ π. οὐδείς] Cf. on § 31,—"If then you are still satisfied with using juster arguments, it is easy and involves no trouble; but if it is our duty to consider how the present state of things is to be amended (cf. 3. 1), and we are to prevent its going still further unperceived by us all, and the sudden coming upon us of a mighty power which we shall not be able to withstand, then the manner of our deliberation is not the same . ." After *ὅσπερ* one or two MSS. have *καί*, which would have been quite legitimate, notwithstanding Vömel says "nostro loco neganti conjunctio *καί* aliena esset." Cf. 3. 13.

§ 5. **προελθόντα ἔτι**] 3. 3; infr. § 33; 23. 203, *τὸ πρᾶγμα ἤδη καὶ πορρωτέρω βαδίζει.*

μέγεθος δ.] see note to 3. 25, *κάλλη . . ἱερῶν.* Caes. *B. Civ.* I. 64, "tantae magnitudini fluminis exercitum obicere."

ἀνταραι] 2. 24. Pl. *Euthyd.* p. 272 A, *ταύτην (μάχην) νῦν ἐξειργάσθον, ὥστε μηδ' ἂν ἕνα αὐτοῖς οἷόν τ' εἶναι μηδ' ἀνταραι.*

τοῖς λ.] Madv. 85.

§ 6. **ὁρῶν**] "though he sees," "sees without alarm."

φέρειν] "brings with it," "threatens." Soph. *El.* 1042, *βλάβην.* Pl. *Phaed.* 88 B, *ὄλεθρον τῇ ψυχῇ.*

ἐφ' ὑμᾶς π.] as infr. § 33, *ὅτι*

σκευάζεσθαι, θαυμάζω, καὶ δεηθῆναι πάντων ὁμοίως ὑμῶν βούλομαι τοὺς λογισμοὺς ἀκοῦσαί μου διὰ βραχέων, δι' οὓς τἀναντία ἐμοὶ παρέστηκε προσδοκᾶν καὶ δι' ὧν ἐχθρὸν ἡγοῦμαι Φίλιππον, ἵν' ἐὰν μὲν ἐγὼ δοκῶ βέλτιον προορᾶν, ἐμοὶ πεισθῆτε, ἐὰν δ' οἱ θαρροῦντες καὶ πεπιστευκότες αὐτῷ, τούτοις προσθήσεσθε. 7. ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, λογίζομαι τίνων ὁ Φίλιππος κύριος πρῶτον μετὰ τὴν εἰρήνην κατέστη; Πυλῶν καὶ τῶν ἐν Φωκεῦσι πραγμάτων. τί οὖν; πῶς τούτοις ἐχρήσατο; ἃ Θηβαίοις συμφέρει καὶ οὐχ ἃ τῇ πόλει, πράττειν προείλετο. τί δή ποτε; ὅτι πρὸς πλεονεξίαν, οἶμαι, καὶ τὸ πάνθ' ὑφ' ἑαυτῷ ποιήσασθαι τοὺς λογισμοὺς ἐξετάζων, καὶ οὐ πρὸς εἰρήνην οὐδ' ἡσυχίαν οὐδὲ δίκαιον οὐδέν, εἶδε τοῦτ' ὀρθῶς. 8. ὅτι τῇ μὲν ἡμετέρᾳ πόλει καὶ τοῖς ἤθεσι τοῖς ἡμετέροις οὐδὲν ἂν ἐνδείξαιτο τοσοῦτον οὐδὲ ποιήσειεν ὑφ' οὗ πεισθέντες ὑμεῖς τῆς ἰδίας ἕνεκ' ὠφελείας τῶν ἄλλων τινὰς Ἑλλήνων ἐκείνῳ προεῖσθε, ἀλλὰ καὶ τοῦ δικαίου

ταῦτ' ἐφ' ὑμᾶς ἔστιν, "that you are the objects of all." Very often with a dat., "with a view to the harm of." 19. 205, χρήματα ἔχουσιν ἐφ' ὑμῖν: 23. 137, καὶ ταῦτ' ἐφ' ἡμῖν ὄντα, "tend to our detriment." Isocr. (5. 73) complains of this line of argument,—περὶ σῆς δυνάμεως λέγουσιν, ὡς οὐχ ὑπὲρ τῆς Ἑλλάδος ἀλλ' ἐπὶ ταύτην αὐξάνεται, καὶ σὺ πολὺν χρόνον ἤδη ἡμῖν ἐπιβουλεύεις.

διὰ βραχέων] "to hear briefly from me." West. thinks it somewhat surprising that διὰ βρ. should be joined with ἀκοῦσαι. He seems to have forgotten Virg. *Aen.* 2. 11, "Et breviter Trojae supremum audire laborem."

δι' οὓς] "propter quas (causa remotior quae dicitur); δι' ὧν per quas (causa est instrumenti instar), i.e. quibus permotus." Fr. Lys. 12. 87, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλήθους . . ἡγοῦνται τοὺς τριάκοντα σῶσαι, διὰ δ' Ἐρατοσθένην. Dem. 5. 22. "which lead me (3. 1) to expect the contrary, and wherefore I look upon . ."

βέλτιον προορᾶν] "to see better into the future," "have the better foresight." F Ω Υ have βέλτιον τῶν ἄλλων, as in 5. 11.

προσθήσεσθε] Bekk. st. from S; Bekk. προσθῆσθε. If this reading is correct, the construction commenced with ἵν' εἰ is abandoned for a direct statement.

§ 7. **ἐγὼ τοίνυν**] "well, then, I reason—What did P. first make himself master of after the peace? P. and the settlement of the P. business."

Πυλῶν] 5. 20. Grote, 11. 482.

πρὸς . . ἐξ.] 1. 11. "forming his calculations by reference to ambition and the reduction . ."

εἶδε] 4. 5.

§ 8. **τοῖς ἤθεσι**] "a people of our character," "our principles."

ἐνδείξαιτο] Lat. "ostento:" "offer as a bait"—"could offer no bait tempting enough, could do nothing that would induce you to sacrifice . ."

τῶν ἄλλων τινάς] "de hâc collocatione pronominis indefiniti,

λόγον ποιούμενοι, καὶ τὴν προσοῦσαν ἀδοξίαν τῷ πράγματι φεύγοντες, καὶ πάνθ' ἃ προσήκει προορώμενοι, ὁμοίως ἐναντιώσεσθε, ἄν τι τοιοῦτον ἐπιχειρῇ πράττειν, ὥσπερ ἂν εἰ πολεμοῦντες τύχοιτε. 9. *τοὺς δὲ Θηβαίους ἡγεῖτο, ὅπερ συνέβη, ἀντὶ τῶν ἑαυτοῖς γιγνομένων τὰ λοιπὰ ἐάσειν ὅπως βούλεται πράττειν ἑαυτόν, καὶ οὐχ ὅπως ἀντιπράξειν καὶ διακωλύσειν ἀλλὰ καὶ συστρατεύσειν ἂν αὐτοὺς κελεύῃ. καὶ νῦν τοὺς Μεσσηνίους καὶ τοὺς Ἀργείους ταὐτὰ ὑπειληφὼς εὖ ποιεῖ. ὃ καὶ μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον, ὦ ἄνδρες Ἀθηναῖοι·* 10. *κέκρισθε γὰρ ἐκ τούτων τῶν ἔργων μόνοι τῶν πάντων μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν Ἑλλήνων προέσθαι, μηδ' ἀνταλλάξασθαι μηδεμιᾶς χάριτος μηδ' ὠφελείας τὴν εἰς τοὺς Ἕλληνας εὔνοιαν. καὶ ταῦτ' εἰκότως καὶ περὶ ὑμῶν οὕτως ὑπείληφε καὶ κατ' Ἀργείων καὶ Θηβαίων ὡς ἑτέρως, οὐ μόνον εἰς τὰ παρόντα ὁρῶν ἀλλὰ καὶ*

quae Ionensibus propria dicitur esse, cf. 14. 6, *τῶν ἰδίᾳ τι συμφερόντων*: 20. 81, 133: 24. 2; Aesch. 3. 196" (Fr.). It is not uncommon in Thuc.: 1. 45, *ἐς τῶν ἐκείνων τι χωρίων*: 5. 82, *τῶν ἐν Πελοποννήσῳ τινὲς πολέων*. Antiph. *de Caed. Her.* § 21, *εἰς τῆς Μηθυμναίας τι χωρίον*.

ἀλλὰ καί] "but both out of a regard for justice and fear of the disgrace attaching to the thing, and in the exercise of a proper foresight, you would oppose him . . ." For the position of *τῷ πράγματι* cf. 18. 176, *τὸν ἐφεστηκότα κίνδυνον τῇ πόλει*: *ib.* 220, *τὸν κατειληφότα κίνδυνον τὴν πόλιν*: 25. 40, *τοὺς γενομένους κύνας τῶν προβάτων*. Madv. 9 *a*, 1. On the fut. ind. *ἐναντιώσεσθε*, Madv. 130 *b*.

ὁμοίως . . ὥσπερ ἄν] "just the same as if you were . ." Madv. 139 *c*; Heind. *Gorg.* c. 76; Butt. *Ind. Mid.* s. v. *ὡς ἄν*. Cf. 21. 60, 117, 225, *βοηθεῖν ὁμοίως ὥσπερ ἂν αὐτῷ τις ἀδικούμενος*.

§ 9. **ὅπερ συνέβη**] "which proved to be the case." Cf. 2. 5.

ἀντί κ.τ.λ.] "in return for what he was doing for them . ." See 5. 21.

οὐχ ὅπως . . . ἀλλὰ καί] "and so far from . . would even . ." Madv. 212. 4; Don. § 571.

ταὐτὰ ὑ.] "under the same persuasion. For *ποιεῖ* the Zurich editors Vöm. and Fr. read *ἐποίει* from S. A reference to § 15 will serve to show that this is a mere blunder of the copyist.

καθ' ὑμῶν] "panegyric upon you." *κατά* is not often used as here to express a favourable judgment. Cf. however 18. 125; Aesch. 1. 157, 163; 3. 50, 125, 141—passages which I now find have been collected by Vöm. also.

§ 10. **ἂν . . προέσθαι**] Cf. 4. 13. "by these acts to be the only people in the world who would not for *any* (*μηδενός* being emphasized by *ἄν*) . ." *μηδενὸς κ.* is of course the gen. of price: 3. 22.

τὰ κ. δ. τῶν Ἑ.] 2. 24.

εἰς . . εὔνοιαν] Antiph. *de Caed. Her.* § 76, *ἔργῳ τὴν εὔνοιαν ἐδείκνυε τὴν εἰς ὑμᾶς*. Dem. 18. 54.

ὡς ἑτέρως] Lit., "how differently." Infr. 32; 18. 202, 306.

τὰ πρὸ τούτων λογιζόμενος. 11. εὑρίσκει γάρ, οἶμαι, καὶ ἀκούει τοὺς μὲν ὑμετέρους προγόνους, ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων ὥστ' αὐτοὺς ὑπακούειν βασιλεῖ, οὐ μόνον οὐκ ἀνασχομένους τὸν λόγον τοῦτον, ἡνίκ' ἦλθεν Ἀλέξανδρος ὁ τούτων πρόγονος περὶ τούτων κῆρυξ, ἀλλὰ καὶ τὴν χώραν ἐκλιπεῖν προελομένους καὶ παθεῖν ὁτιοῦν ὑπομείναντας, καὶ μετὰ ταῦτα πράξαντας ταῦθ' ἃ πάντες μὲν ἀεὶ γλίχονται λέγειν, ἀξίως δ' οὐδεὶς εἰπεῖν δεδύνηται, διόπερ κἀγὼ παραλείψω δικαίως (ἔστι γὰρ μείζω τἀκείνων ἔργα ἢ ὡς τῷ λόγῳ τις ἂν εἴποι), τοὺς δὲ Θηβαίων καὶ Ἀργείων προγόνους τοὺς μὲν συστρατεύσαντας τῷ βαρβάρῳ, τοὺς δ' οὐκ ἐναντιωθέντας. 12. οἶδεν οὖν ἀμφοτέρους ἰδίᾳ τὸ λυσιτελοῦν ἀγαπήσοντας, οὐχ ὅ τι συνοίσει κοινῇ τοῖς Ἕλλησι σκεψομένους. ἡγεῖτ' οὖν, εἰ μὲν ὑμᾶς ἕλοιτο φίλους, ἐπὶ τοῖς

"He has naturally formed both this opinion of you, and that—how different—of . . ."

§ 11. ὥστ' . . ὑπακούειν] "when they might . . so they would," "on condition they would." Madv. 166 *b.* "Sic Latine 'quum possent Graecis ita imperitare, ut ipsi dicto audientes essent regi.' Conf. Eur. *Phoen.* 514, ἂν ἔλθοιμ' . . . ὥστ' ἔχειν τυραννίδα. Plenissime h. e. junctis conditione et effectu: *ib.* 599, οὐκ ἂν ξυμβαῖμεν ἄλλως ἢ 'πὶ τοῖς εἰρημένοις, ὥστ' ἐμὲ . . τῆσδ' ἄνακτ' εἶναι χθονός" (Schäf.). Cf. 18. 67, 81, 103; 21. 3 al.

οὐκ ἀνασχομένους] "did not put up with," "rejected with disdain."

Ἀλέξανδρος] Herod. 8. 140 sq. In 23. 200 Dem. makes Perdiccas king at the time of the Battle of Plataea.

λέγειν . . εἰπεῖν] In some passages these verbs are found together where there can be no intention to insist on any difference of meaning. Isocr. 15. 272, τὴν δύναμιν ἔχω μὲν εἰπεῖν, ὀκνῶ δὲ λέγειν: Id. 4. 11, τὸν δ' ἀκριβῶς ἐπιστάμενον λέγειν ἁπλῶς, οὐκ ἂν δυνάμενον εἰπεῖν. Here λέγειν might be understood of the contents of the speeches, and εἰπεῖν of the language used. "All earnestly desire to describe . . to do so in language worthy of the subject," "speak them as they deserve." Thuc. 3. 67, λόγοι ἔπεσι κοσμηθέντες. Cf. what Dem. had already said on this subject in 14. 1. On μὲν . . δέ cf. 2. 24. S omits μέν, which is properly retained by Bekker, as also in § 12, ἐν μὲν τῇ μ. The same MS. omits μέν in 9. 2, ἡ μὲν πόλις, and ib. 5, τῆς μὲν ῥᾳθυμίας . .

ἢ ὡς] Madv. 90, r. 4. "are great beyond any man's power to express them in words."

τοὺς μὲν . . τοὺς δ'] Madv. 50 *a*, r. 4. Ps. Dem. 7. 41, ταύτην τὴν χώραν . . τὴν μὲν . . τὴν δὲ . . 9. 61; 19. 90; Thuc. 1. 89. Mr. K. well translates, "either joined the barbarian army, or . ."

§ 12. ἰδίᾳ] "selfishly."

ἀγαπᾶν] rarely as here with the acc. In Thuc. 6. 18 the words οὐκ ἀγαπήσαντες, which followed ὑπεριδόντες, are now omitted on the authority of the best MSS. Cf. Heind., Pl. *Euthyd.* § 82.

ἐπὶ τοῖς δ.] "on condition his objects are just."

δικαίοις αἱρήσεσθαι, εἰ δ' ἐκείνοις προσθεῖτο, συνεργοὺς ἕξειν τῆς αὑτοῦ πλεονεξίας. διὰ ταῦτ' ἐκείνους ἀνθ' ὑμῶν καὶ τότε καὶ νῦν αἱρεῖται. οὐ γὰρ δὴ τριήρεις γε ὁρᾷ πλείους αὐτοῖς ἢ ὑμῖν οὔσας· οὐδ' ἐν μὲν τῇ μεσογείᾳ τιν' ἀρχὴν εὕρηκε, τῆς δ' ἐπὶ τῇ θαλάττῃ καὶ τῶν ἐμπορίων ἀφέστηκεν· οὐδ' ἀμνημονεῖ τοὺς λόγους οὐδὲ τὰς ὑποσχέσεις ἐφ' αἷς τῆς εἰρήνης ἔτυχεν.

13. *Ἀλλὰ νὴ Δί' εἴποι τις ἂν ὡς πάντα ταῦτ' εἰδὼς οὐ πλεονεξίας ἕνεκεν οὐδ' ὧν ἐγὼ κατηγορῶ τότε ταῦτ' ἔπραξεν, ἀλλὰ τῷ δικαιότερα τοὺς Θηβαίους ἢ ὑμᾶς ἀξιοῦν. ἀλλὰ τοῦτον καὶ μόνον πάντων τῶν λόγων οὐκ ἔνεστ'*

καὶ τότε καὶ νῦν] "these considerations made him prefer them to you both then and now." In this case the verb is almost always in the present, even when *τότε* stands next to it. Soph. *Electr.* 917, *καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι.* Dem. 18. 31. We find, however, Dem. 29. 38, *παραδοῦναι καὶ τότε καὶ νῦν ἤθελον.*

εὕρηκε] "invenit," "found"—as an *ἕρμαιον* or godsend. "nor having found an empire inland has he renounced . . ;" so that he can well dispense with the alliance of a maritime power like ourselves, as being out of our reach. "Sane de vero hic dominatu sermo est, sed illud *εὕρηκε* proverbiale quid sonat; nam ita fere locum circumscripserim, 'neque in mediterraneis subito praeclarum *sibi visus est invenire principatum*, cujus gratiâ maritimum illum jam missum faceret.'" Butt. *Ind. Mid.* s. v. *ἀρχή*.

ἐπὶ τ. θ.] "over," "of the sea." Xen. *Cyrop.* 5. 3. 36, *ἄρχων ἐπὶ τούτοις ἦν.* Thuc. 6. 29, *πέμπειν αὐτὸν ἐπὶ τοσούτῳ στρατεύματι,* "in command of." Cf. 9. 2, *τοὺς ἐπὶ τοῖς πράγμασιν ὄντας.*

ἐφ' αἷς] "on the faith of which . ." Cp. §§ 28, 30. 18. 28, *ἐπὶ ταύταις ταῖς ἐλπίσι τὴν εἰρήνην ἐποιεῖσθε*: ib. 44; 19. 87.

§ 13. **Ἀλλὰ νὴ Δί'**] "yes, but, some one may say . . .," "but it may be said . . .," anticipating an objection, as in Lat. "at," "at enim." Cf. 8. 9; 20. 58; al. Sometimes *νὴ Δία* precedes: 18. 117, *νὴ Δί' ἀλλ' ἀδίκως ἦρξα.* In other passages *γάρ* follows *νὴ Δία*: 9. 68; 20. 56, *νὴ Δί' ἀνάξιοι γάρ τινες τῶν εὑρημένων ταῦτ' ἦσαν*: 23. 166. See other forms of "occupatio" in 1. 16; 4. 10.—Franke and Dind. refer *εἰδώς* to Philip ("that though he knew all this [that the alliance with Thebes would be more to his advantage], it was not from selfishness nor the motives I attribute to him ..."). Schäf. and Redh. tr. *τις* "dicat aliquis quasi totum rerum hodiernarum statum perspectum habens." I prefer the former explanation.

ὧν . . . κατηγορῶ] observe the absence of a gen. of the person: cf. 19. 2, with Mr. Shilleto's note.

τῷ . . ἀξιοῦν] Madv. 155; Heind., *Phaed.* 60 B; Dem. 5. 21. "because the demands of the Thebans . . .," in claiming Orchomenus and Coronea.

τοῦτον καὶ μ.] "this is *just* the plea which of all others . . .," "of all pleas this is just . . . ." This *epitatic* use of *καί* has been noticed on 3. 1.

αὐτῷ νῦν εἰπεῖν· ὁ γὰρ Μεσσήνην Λακεδαιμονίους ἀφιέναι κελεύων πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδοὺς τῷ δίκαια νομίζειν ταῦτ' εἶναι πεποιηκέναι σκήψαιτο;

14. Ἀλλ' ἐβιάσθη νὴ Δία (τοῦτο γάρ ἐσθ' ὑπόλοιπον) καὶ παρὰ γνώμην, τῶν Θετταλῶν ἱππέων καὶ τῶν Θηβαίων ὁπλιτῶν ἐν μέσῳ ληφθείς, συνεχώρησε ταῦτα. καλῶς. οὐκοῦν φασὶ μὲν μέλλειν πρὸς τοὺς Θηβαίους αὐτὸν ὑπόπτως ἔχειν, καὶ λογοποιοῦσι περιιόντες τινὲς ὡς Ἐλάτειαν τειχιεῖ· 15. ὁ δὲ ταῦτα μὲν μέλλει καὶ μελλήσει, ὡς ἐγὼ κρίνω, τοῖς Μεσσηνίοις δὲ καὶ τοῖς Ἀργείοις ἐπὶ τοὺς Λακεδαιμονίους συμβάλλειν οὐ μέλλει, ἀλλὰ καὶ ξένους εἰσπέμπει καὶ χρήματ' ἀποστέλλει καὶ δύναμιν μεγάλην ἔχων αὐτὸς

Μεσσήνην] Grote, 11. 612.

ἀφιέναι] more fully in Thuc. i. 129, *Αἴγιναν αὐτόνομον ἀφιέναι.*

τότε] at the end of the Sacred War, when Philip restored to them Orchomenus and Coronea, which had been in the hands of the Phocians since B.C. 354, 353. 19. 112, 141. Cf. 5. 21, *Θηβαίοις πρὸς μὲν τὸ τὴν χώραν κεκομίσθαι πέπρακταί τι, πρὸς δὲ τιμὴν καὶ δόξαν αἴσχιστα.* The feeling of repugnance was caused by the manner in which they had become possessed of the towns. Cf. Grote, 10. 426.

σκήψαιτο] "how can he pretend to have done so because . . ."

§ 14. **Ἀλλ' . . νὴ Δία**] "but perhaps . . .," "but it may be said he was forced—for this plea is left . ." supr. § 13.

ἐν μ. ληφθείς] "surrounded by." Cf. 5. 22; Grote, 11. 587.

καλῶς] ironical—"admirable!" "excellent!"

φασὶ μέν] "so they say he intends to regard the T. with suspicion." So 9. 63; 19. 132.

λογ. περιιόντες] 4. 10.

Ἐλάτειαν] the principal town in Phocis, and especially important in a military point of view—"ad defendendas, in quibus surgebat, angustias, quae Boeotiam versus propinquam et Thessaliam aperiebantur, opportunissima erat, ut qui eam teneret, brevi viâ praeter Thronium et Scarpheam ad Thermopylas perveniret (Livy 33, c. 3), et aditus in Boeotiam haberet" (Vom.). Hence the alarm at Athens when the news came in the year before the battle of Chaeronea, that Philip was fortifying the town. 18. 169.

§ 15. **μ. καὶ μελλήσει**] "this he intends, and *will* intend in my judgment," he will go no farther—there the matter will end. We might have expected *τε καί* here, but cf. 19. 89, *χρήμαθ' ἡμῖν περίεστι καὶ περιέσται,* with Mr. Shilleto's note.

τοῖς Μ.] a dat. commodi, as it is called—"in the interest of," "on behalf of." Madv. 34 and r. 1. 24. 88, *δι' ὅλου . . . τοῦ νόμου τῷ καταστήσαντι τοὺς ἐγγυητὰς ἅπαντα λέγει.*

ἐπὶ . . συμβάλλειν] whether this constr. occurs elsewhere I don't know. *σ.* with *πρός* is not uncommon.

οὐ μ.] "he does not intend"—there is no intending about this, it is already being done.

ἐστι προσδόκιμος. τοὺς μὲν ὄντας ἐχθροὺς Θηβαίων Λακεδαιμονίους ἀναιρεῖ, οὓς δ' ἀπώλεσεν αὐτὸς πρότερον Φωκέας νῦν σώζει; 16. καὶ τίς ἂν ταῦτα πιστεύσειεν; ἐγὼ μὲν γὰρ οὐκ ἂν ἡγοῦμαι Φίλιππον, οὔτ' εἰ τὰ πρῶτα βιασθεὶς ἄκων ἔπραξεν οὔτ' ἂν εἰ νῦν ἀπεγίγνωσκε Θηβαίους, τοῖς ἐκείνων ἐχθροῖς συνεχῶς ἐναντιοῦσθαι, ἀλλ' ἀφ' ὧν νῦν ποιεῖ, κἀκεῖνα ἐκ προαιρέσεως δῆλός ἐστι ποιήσας. ἐκ πάντων δ', ἄν τις ὀρθῶς θεωρῇ, πάντα πραγματεύεται κατὰ τῆς πόλεως συντάττων. 17. καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τιν' αὐτῷ νῦν γε δὴ συμβαίνει. λογίζεσθε γάρ. ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς. ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτο αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ (οὖσιν ὑμε-

incorporates

ἐστι πρ.] "is expected." Thuc. 1. 14.

τοὺς μὲν . . . σώζει] "when he is seeking to destroy the existing enemies of the T., the L., does he now mean to restore the P., whom he himself before annihilated," as some would have us believe? *τοὺς ὄντας*, opp. to *οὓς ἀπώλεσεν*. 8. 17, *ἂν μὲν τοίνυν ᾖ* . . ., opp. to *τὸ διαλύεσθαι*. 9. 56, *ὅτ' ἦν ἡ πόλις*. The sentence is an example of the "argumentum ex contrario," or "contrarium" as it is called by the Auct. ad Her., who explains it at length 4. 25, 26. It is very often introduced by *εἶτα* (cf. 1. 24; supr. 13; 8. 20; 9. 13 al.), and generally appears in the form of two sentences connected by *μέν* and *δέ*, of which that with *μέν*, subordinate to the other (2. 24), contains some admitted fact, from which the inference is drawn.

§ 16. **καὶ τίς**] "but who can believe it?" "who pray can believe it?" *καί* being adversative, and expressing objection to the previous statement, as very often when used before *πῶς, τίς*, &c. 16. 8, *καὶ τί ἂν ἄλλο βουλοίμεθα;* 18. 235, *καὶ πῶς ἔνι τοῦτο γενέσθαι;* cf. Porson on Eur. *Phoen.* 1373.

ἐγὼ μὲν γάρ] Cf. 9. 15. "for my own part (so far from believing this) I do not even think that P., either if he were now giving up the T. (cf. 3. 33) would, . ." *ἂν . . ἄν* with *ἐναντιοῦσθαι*. Cf. 1. 10.

βιασθείς] "because he was forced."

ποιήσας] Madv. 177 *b*.

συντάττων] here, as often, in the sense of "concocting a scheme." 32. 22, *τοῦ σοφοῦ τοῦ ταῦτα πάντα συντεταχότος*. "but his whole conduct rightly viewed shows that all his intrigues are directed against . ." With this passage comp. 8. 43.

§ 17. **καὶ τοῦτ'**] 8. 41, *καὶ τοῦτ' εἰκότως τρόπον τινὰ πράττει*. On *τρόπον τινά* Madv. 31 *d*. For the asyndeton *ἄρχειν β.* cf. supr. § 4. "only consider: he desires to rule, and conceives you to be his only rivals in this!"

σύνοιδεν] "and of this he is himself perfectly conscious. For by those places of yours which he now holds it is that he secures himself in possession of . . ." Ps. Dem. 10. 12 has *οἷς . . . ἔχει χρῆσθαι*, which is also the reading of some MSS. here. It seems to have arisen, as Fr. suggests, from ignorance of the attraction. Cf. Madv. 103.

τέροις) ἔχει, τούτοις πάντα τἄλλα ἀσφαλῶς κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτίδαιαν προεῖτο, οὐδ' ἂν οἴκοι μένειν βεβαίως ἡγεῖτο. 18. *ἀμφότερα οὖν οἶδε, καὶ ἑαυτὸν ὑμῖν ἐπιβουλεύοντα καὶ ὑμᾶς αἰσθανομένους· εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων δικαίως [ἂν] αὐτὸν μισεῖν νομίζει καὶ παρώξυνται, πείσεσθαί τι προσδοκῶν, ἂν καιρὸν λάβητε, ἂν μὴ φθάσῃ ποιήσας πρότερος. διὰ ταῦτ' ἐγρήγορεν, ἐφέστηκεν, ἐπὶ τῇ πόλει θεραπεύει τινὰς Θηβαίους καὶ Πελοποννησίων τοὺς ταὐτὰ βουλομένους τούτοις,* 19. *οὓς διὰ μὲν πλεονεξίαν τὰ παρόντα ἀγαπήσειν οἴεται, διὰ δὲ σκαιότητα τρόπων τῶν μετὰ ταῦτ' οὐδὲν προόψεσθαι. καίτοι σωφρονοῦσί γε καὶ μετρίως ἐναργῆ παραδείγματ' ἔστιν ἰδεῖν, ἃ καὶ πρὸς Μεσσηνίους καὶ πρὸς Ἀργείους ἔμοιγ' εἰπεῖν συνέβη, βέλτιον δ' ἴσως καὶ πρὸς ὑμᾶς ἐστὶν εἰρῆσθαι.*

Ἀμφ. καὶ Π.] Grote, 11. 329, 331, 336.

§ 18. **ἀμφ. . . . καὶ . . . καί**] 1. 14.

δικαίως [ἂν] . . νομίζει] Bekk. Others from S read *ἂν νομίζοι*. Schäf. rightly says, "particula delenda est, nata illa ex literis proximis. Certe scit Philippus se odio esse Atheniensibus." If *ἂν . . . νομίζοι* were read, *ὑπολαμβάνων* would = *εἰ ὑπολαμβάνοι*. Even if this were not in itself unmeaning here, the words *καὶ παρώξυνται* prove that the previous sentence is assertive, not hypothetical. *δικαίως* with *νομίζει*, "with reason."

παρώξυνται] "he is disturbed," "alarmed."

φθ. π. πρότερος] "unless he is beforehand with you by striking the first blow." On the aor. part., Madv. 183, r. 2.

ἐγρήγορεν] "he is awake." 19. 305, *εἰ προσέχει τοῖς πράγμασιν ἤδη καὶ ἐγείρεται ἡ πόλις*. Thuc. 7. 51. Fr. puts the comma after *τῇ πόλει*, but this seems weaker in itself, and leaves *θεραπεύει* without sufficient reference. "he is on the watch, he courts certain people against us (supr. § 6)—the Thebans . . ."

ἐπί] Cf. supr. 6 on *ἐφ' ἡμᾶς*.

ταὐτὰ β.] a common expression to denote identity of political views. Thuc. 2. 79; 4. 79.

τούτοις] i. e. the Thebans.

§ 19. **πλεονεξίαν**] "cupidity."

διὰ . . σκ. τρ.] "through dulness of understanding." The *ἀναισθησία* of the Thebans was proverbial. 5. 15, *εἰ καὶ πάνυ φησί τις αὐτοὺς ἀναισθήτους εἶναι*. 18. 19, 43; 20. 109. Hor. 2 *Epp.* 1. 244.

τῶν μ. ταῦτ'] 1. 8.

καίτοι . . . γε] "yet surely persons of even moderate intelligence may see striking instances of them (i. e. the consequences of trusting P.)."

ἔμοιγ' . . . συνέβη] "it occurred to me," "I had occasion to . . ." This was in or before B.C. 344, when at his own suggestion Dem. was sent with other envoys on a mission to the cities of the Peloponnese. He refers to it in 18. 79—*τὴν εἰς Π. πρεσβείαν ἔγραψα ὅτε πρῶτον ἐκεῖνος εἰς Π. παρεδύετο*. Grote, 11. 614; *Diss. de Cor.* p. 212.

20. Πῶς γὰρ οἴεσθ', ἔφην, ὦ ἄνδρες Μεσσήνιοι, δυσχερῶς ἀκούειν Ὀλυνθίους, εἴ τίς τι λέγοι κατὰ Φιλίππου κατ' ἐκείνους τοὺς χρόνους ὅτ' Ἀνθεμοῦντα μὲν αὐτοῖς ἀφίει, ἧς πάντες οἱ πρότερον Μακεδονίας βασιλεῖς ἀντεποιοῦντο, Ποτίδαιαν δ' ἐδίδου τοὺς Ἀθηναίων ἀποίκους ἐκβαλών, καὶ τὴν μὲν ἔχθραν τὴν πρὸς ἡμᾶς αὐτὸς ἀνῄρητο, τὴν χώραν δ' ἐκείνοις ἐδεδώκει καρποῦσθαι; ἆρα προσδοκᾶν αὐτοὺς τοιαῦτα πείσεσθαι, ἢ λέγοντος ἄν τινος πιστεῦσαι οἴεσθε; 21. ἀλλ' ὅμως, ἔφην ἐγώ, μικρὸν χρόνον τὴν ἀλλοτρίαν καρπωσάμενοι πολὺν τῆς ἑαυτῶν ὑπ' ἐκείνου στέρονται, αἰσχρῶς ἐκπεσόντες, οὐ κρατηθέντες μόνον ἀλλὰ καὶ προδοθέντες ὑπ' ἀλλήλων καὶ πραθέντες· οὐ

§ 20. **Πῶς γάρ**] Aquila Rom. *de Fig.* c. 9 (quoted by Redh.) refers to this passage: "Apostrophe, aversio, ubi quæ ad alios dicta volumus, ad alios dicere videmur. Acutissimum exemplum in Philippicis Demosthenis, ubi quibus verbis populum Atheniensium monitum vult ea se dicit apud Græcos et Arcadas et Messenios concionatum invidiose." "well, I said, ye men of M., with what vexation . . . used to listen whenever any one . . .," "used to hear any one speak against P. . . ."

Πῶς . . δ.] 1. 24.

ἀκούειν] for the benefit of "tirones" as he says, Völm. remarks that the sentence in the direct form would be *δυσχερῶς ἀκούοιεν ἄν, εἴ τίς τι λέγοι*. As εἰ here = as often as, ἀκούειν must be the inf. of the imperfect. Madv. 133. Cf. 9. 4, 45; 18. 43, *οὐδὲ φωνὴν ἤκουον εἴ τις ἄλλο τι βούλοιτο λέγειν.*

Ἀνθεμοῦντα] well named by Libanius *τὸ τῶν ταλαιπώρων Ὀλυνθίων δέλεαρ.* Cf. Grote, 11. 333. Here the word is feminine, in Thuc. 2. 99 masculine.

ἐδίδου] here not "offered" but "gave," defined by *κατ' ἐκείνους τοὺς χρ.*

τοὺς Ἀθ. ἀποίκους] Grote, 11. 334 sq. Ps. Dem. 7. 10. Observe the rhetorical *ἀποίκους* instead of *κληρούχους*, their placing Cleruchs in Potidaea being in direct violation of the stipulation at the formation of the new Confederacy (B.C. 378), that no Athenian citizen should possess or cultivate land out of Attica. Grote, 10. 335.

τὴν πρὸς ἡ.] Cf. § 3. "took upon himself the enmity they would incur with you," "your enmity."

τὴν χ.] the city, it would appear, had been destroyed. A. Schäf. 2. 23, note 5.

καρποῦσθαι] "to enjoy." Madv. 148 *b*. Thuc. 2. 27, *ἔδωκαν Θυρέαν οἰκεῖν καὶ τὴν γῆν νέμεσθαι.*

λ. . . τινος = *εἴ τις ἔλεγεν, ἂν* going with *πιστεῦσαι.*

§ 21. **στέρονται**] Madv. 180, r. 1. "and yet, I said, after enjoying for a short time the land of others, they have been deprived for a long time of their own, shamefully expelled, not vanquished only, but . ." The traitors were especially Lasthenes and Euthycrates, who are often mentioned—8. 40; 9. 55, 56; 18. 48; 19. 265, where he speaks of their being bribed. Grote, 11. 489. On the position of *αὗται* cf. Don. p. 352, obs. 1; Madv. 11.

γὰρ ἀσφαλεῖς ταῖς πολιτείαις αἱ πρὸς τοὺς τυράννους αὗται λίαν ὁμιλίαι. 22. τί δ' οἱ Θετταλοί; ἆρ' οἴεσθ', ἔφην, ὅτ' αὐτοῖς τοὺς τυράννους ἐξέβαλλε καὶ πάλιν Νίκαιαν καὶ Μαγνησίαν ἐδίδου, προσδοκᾶν τὴν καθεστῶσαν νῦν δεκαδαρχίαν ἔσεσθαι παρ' αὐτοῖς, ἢ τὸν τὴν πυλαίαν ἀποδόντα τοῦτον τὰς ἰδίας αὐτῶν προσόδους παραιρήσεσθαι; οὐκ ἔστι ταῦτα. ἀλλὰ μὴν γέγονε ταῦτα καὶ πᾶσιν ἔστιν εἰδέναι. 23. ὑμεῖς δ', ἔφην ἐγώ, διδόντα μὲν καὶ ὑπισχνούμενον θεωρεῖτε Φίλιππον, ἐξηπατηκότα δ' ἤδη καὶ παρακεκρουμένον ἀπεύχεσθε, εἰ σωφρονεῖτε δή, ἰδεῖν.

ταῖς πολιτείαις] 1. 5.

αἱ . . λίαν] 4. 17.

§ 22. **τί δ' οἱ Θ.**] 18. 48, *τί δ' Ἀρίστιππος . . καὶ τί Περίλαος . . ;* "then again the Thessalians, I said . . ." On the feelings of the T. towards Philip at this time cf. 18. 43. He restored Magnesia to them not long after the end of the Sacred War; and gratified them by the cession of Nicaea, one of the frontier towns near Thermopylae, which had been given up to him by Phalaecus B.C. 346. Thirl. 6. 12.

τοὺς τυράννους] 2. 14.

τὴν . . . δεκαδαρχίαν] Harpocr. s. v. says, *Φίλιππος μέντοι παρὰ Θετταλοῖς δεκαδαρχίαν οὐ κατέστησεν, ὡς γέγραπται ἐν ς' Φιλιππικῷ Δημοσθένους, ἀλλὰ τετραρχίαν*, and so Dem. himself in 9. 26, *καὶ τετραρχίας κατέστησεν*. Vömel is right in thinking that the discrepancy is only apparent. After the expulsion of the tyrant family from Pherae, Philip, availing himself of the old division of the country into the four districts of Thessaliotis, Phthiotis, Pelasgiotis, and Histiaeotis, revived the distinction of the Tetrarchies, and put some of the chief Aleuadae at the head of the government. Dem. might therefore have used the same language as in 9. 26, but he skilfully adopts a term which would be more significant to his hearers, who remembered the Decarchies set by the Spartans (Grote, 9. 255), and were just then in fear of falling again under the Spartan rule. But whether he means by this that the general government of Thessaly was in the hands of a Decemvirate, or that each tetrarchy was governed by a board of ten, or that there were ten governors in each city, or lastly, used the expression simply in accommodation to his hearers, cannot be determined. The last supposition seems the most probable. At any rate he cannot have mentioned this particular point in his speech to the Messenians, as the arrangement had not been made at the time of his mission. Thirl. 6. p. 9.

τὸν . . τοῦτον] 2. 6; 9. 17, *ὁ γὰρ . . οὗτος*: ib. 18.

τὴν π.] "who restored to them the meeting at Pylae." 5. 23.

τὰς . . προσόδους] 1. 22. Thirl. 6. 14.

παραιρήσεσθαι] "take and appropriate."

πᾶσιν] "and are patent to all," "as all may see."

§ 23. **διδόντα μέν**] "and you, I said, behold Philip dispensing gifts and promises (to yourselves as to the Olynthians and Thessalians); pray, if you are indeed wise, that you may not awake (ἤδη) to find that he has deceived and cheated you (as he did them)."

ἔστι τοίνυν νὴ Δί', ἔφην ἐγώ, παντοδαπὰ εὑρημένα ταῖς πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα καὶ τείχη καὶ τάφροι καὶ τἄλλα ὅσα τοιαῦτα. 24. καὶ ταῦτα μέν ἐστιν ἅπαντα χειροποίητα, καὶ δαπάνης προσδεῖται· ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν ἑαυτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μέν ἐστιν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους. τί οὖν ἐστὶ τοῦτο; ἀπιστία. ταύτην φυλάττετε, ταύτης ἀντέχεσθε· ἐὰν ταύτην σῴζητε, οὐδὲν μὴ δεινὸν πάθητε. 25. τί ζητεῖτε; ἔφην. ἐλευθερίαν. εἶτ' οὐχ ὁρᾶτε Φίλιππον ἀλλοτριωτάτας ταύτῃ καὶ τὰς προσηγορίας ἔχοντα; βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχθρὸς ἐλευθερίᾳ καὶ νόμοις ἐναντίος. οὐ φυλάξεσθ' ὅπως, ἔφην, μὴ πολέμου ζητοῦντες ἀπαλλαγῆναι δεσπότην εὕρητε;

26. Ταῦτ' ἀκούσαντες ἐκεῖνοι, καὶ θορυβοῦντες ὡς ὀρθῶς λέγεται, καὶ πολλοὺς ἑτέρους λόγους παρὰ τῶν πρέσβεων καὶ παρόντος ἐμοῦ καὶ πάλιν ὕστερον ἀκούσαντες, ὡς ἔοικεν, οὐδὲν μᾶλλον ἀποσχήσονται τῆς Φιλίππου φιλίας οὐδ' ὧν ἐπαγγέλλεται. καὶ οὐ τοῦτό ἐστιν ἄτοπον, εἰ Μεσσή-

τοίνυν] "now there is, I continued . ."

ταῖς π.] "devised by free states for." Madv. 38 *g*.

§ 24. **καί, κ.τ.λ.**] "now all these . . and require expense besides, but there is one common safeguard inherent in the nature of sensible men which . . for all, is especially so for democracies against despots."

τοῖς πλ. = ταῖς πολιτείαις, § 21. Cf. the definition in Thuc. 2. 43. For the plural, 18. 46; 23. 124.

ἀπιστία] 1. 5.

οὐδὲν μὴ . . π.] 4. 44.

§ 25. **εἶτ'**] 1. 24. "then do you not see that even the titles P. bears are utterly at variance with this?"

νόμοις] a grand characteristic of a free state. Aesch. 1. 4, διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. Cf. Thuc. 3. 62. Hence νόμος is opposed to ὀλιγαρχία. Dem. 24. 75, τί ποτ' ἐστὶν ᾧ νόμος ὀλιγαρχίας διαφέρει; ib. 152, ἡ γὰρ πόλις ἡμῶν . . νόμοις καὶ ψηφίσμασι διοικεῖται. Cf. also 23. 138, 141.

πολέμου i. e. war with Sparta, the fear of which had caused them to apply to Philip for help.

ὅπως . . μή] Madv. 123.

§ 26. **θορυβοῦντες ὡς**] "though they heard these words, and loudly expressed their approbation of them, they will none the more, as it appears . . ." 8. 30, θορυβεῖτε ὡς εὖ λέγει: ib. 77. Arist. *Rhet.* 1. 2, θορυβοῦνται δὲ μᾶλλον οἱ ἐνθυμηματικοί.

πάλιν ὕστερον] from some of the other envoys, when he had left them to visit the other cities of the Peloponnesus.

On **εἰ**, "that," after **ἄτοπον**, Madv. 194 *c*. In 18. 64 Dem. asks with what party his censors would

νιοι καὶ Πελοποννησίων τινὲς παρ' ἃ τῷ λογισμῷ βέλτισθ' ὁρῶσί τι πράξουσιν· 27. ἀλλ' ὑμεῖς οἱ καὶ συνιέντες αὐτοὶ καὶ τῶν λεγόντων ἀκούοντες ἡμῶν ὡς ἐπιβουλεύεσθε, ὡς περιστοιχίζεσθε, ἐκ τοῦ μηδὲν ἤδη ποιῆσαι λήσεθ', ὡς ἐμοὶ δοκεῖ, πάντα ὑπομείναντες· οὕτως ἡ παραυτίχ' ἡδονὴ καὶ ῥᾳστώνη μεῖζον ἰσχύει τοῦ ποθ' ὕστερον συνοίσειν μέλλοντος.

28. Περὶ μὲν δὴ τῶν ὑμῖν πρακτέων καθ' ὑμᾶς αὐτοὺς ὕστερον βουλεύσεσθε, ἂν σωφρονῆτε· ἃ δὲ νῦν ἀποκρινάμενοι τὰ δέοντ' ἂν εἴητ' ἐψηφισμένοι, ταῦτ' ἤδη λέξω. ἦν μὲν οὖν δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἐνεγκόντας τὰς ὑποσχέσεις, ἐφ' αἷς ἐπείσθητε ποιήσασθαι τὴν εἰρήνην, καλεῖν· 29. οὔτε γὰρ αὐτὸς ἄν ποτε ὑπέμεινα πρεσβεύειν, οὔτ' ἂν ὑμεῖς οἶδ' ὅτι ἐπαύσασθε πολεμοῦντες, εἰ τοι-

have wished the city to side? With that of the Thessalians and those who contributed to the disgrace of Hellas, or that which περιεωρακυίας ταῦτα γιγνόμενα ἐπὶ τῆς ἰδίας πλεονεξίας ἐλπίδι, ἧς ἂν Ἀρκάδας καὶ Μεσσηνίους καὶ Ἀργείους θείημεν;

τῷ λ.] "upon reflection," "to what their better judgment tells them is . ."

§ 27. **ἀλλ' ὑμεῖς**] the orator here deserts the construction commenced with ἄτοπον εἰ, and expresses himself more forcibly in a direct statement.

ὡς] "how."

περιστοιχίζεσθε] 4. 9.

ἐκ τοῦ . . . ποιῆσαι] Bekk. st.; Bekk., Dind., and West. ποιεῖν. "in consequence of your doing nothing at once," "in consequence of shunning present exertion, will, before you are aware of it, as it seems to me, endure all things," and therefore the worst. πάντα opp. to οὐδέν. For ἐκ τοῦ S has ὥστε, which is adopted by Redh. Cf. 8. 53, γίγνεται ὑμῖν . . ἡ σχολὴ καὶ τὸ μηδὲν ἤδη ποιεῖν. On the aor. part. ὑπομείναντες, Madv. 183, r. 2.

ἡ π. ἡδονή] "non est ut vulgo explicant 'quae statim et sine labore paratur,' sed 'cujus in praesens est fructus citoque perit.'" Heind. *Prot.* p. 620. "the pleasure of the moment." Cf. 8. 70, τῆς παρ' ἡμέραν χάριτος.

§ 28. **πρακτέων**] the genitive plural of such verbals is rarely found. Isocr. 15. 59 has πολλῶν ἔτι μοι λεκτέων ὄντων.

καθ' ὑμᾶς αὐτούς] "by yourselves," when the ambassadors to whom an answer had to be given were gone. Grote, 11. 615.

ἃ δὲ νῦν] "but I will now give you such an answer as it would be proper for you to decide upon today." λέξω as in 4. 29, τοῦτ' ἤδη λέξω, and so often of the reading of public documents. Lat. "recito." Dind. and others rightly, I think, insert here the title Ἀπόκρισις as in 4. 39, though the lemma is wanting in the MSS.

ἦν . . δ.] "it were just." Madv. 118 *a*; Don. p. 541.

τὰς ὑποσχέσεις] Grote, 11. 552. Allusion was made above to these promises of Philip: cf. 18. 41.

καλεῖν] i. e. to tell you what answer you ought to give.

§ 29. **οἶδ' ὅτι**] Madv. 193, r.

αὗτα πράξειν τυχόντα εἰρήνης Φίλιππον ᾤεσθε· ἀλλ' ἣν πολὺ τούτων ἀφεστηκότα τὰ τότε λεγόμενα. καὶ πάλιν γ' ἑτέρους καλεῖν. τίνας; τοὺς ὅτ' ἐγὼ γεγονυίας ἤδη τῆς εἰρήνης ἀπὸ τῆς ὑστέρας ἥκων πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, αἰσθόμενος φενακιζομένην τὴν πόλιν, προὔλεγον καὶ διεμαρτυρόμην καὶ οὐκ εἴων προέσθαι Πύλας οὐδὲ Φωκέας, 30. λέγοντας ὡς ἐγὼ μὲν ὕδωρ πίνων εἰκότως δύστροπος καὶ δύσκολός εἰμί τις ἄνθρωπος, Φίλιππος δ', ἅπερ εὔξαισθ' ἂν ὑμεῖς, ἐὰν παρέλθῃ, πράξει, καὶ Θεσπιὰς μὲν καὶ Πλαταιὰς τειχιεῖ, Θηβαίους δὲ παύσει τῆς ὕβρεως, Χερρόνησον δὲ τοῖς αὑτοῦ τέλεσι διορύξει, Εὔβοιαν δὲ καὶ

τούτων] "but the representations then made were very different from what we see," i. e. what Philip is doing.

καὶ . . . γ'] 2. 10. "aye and summon others," i. e. Aeschines, Philocrates, and their associates. Grote, l. c.

τοὺς . . λέγοντας] on the hyperbaton see 2. 16. "Those who, when I, after the conclusion of the peace, on my return (1. 8) from the second embassy, that for the oaths, finding they were practising an imposition on you, warned and protested and urged you not to . . . said that . . ." The embassy here mentioned was the second, sent in B.C. 346, of which, as of the first, Dem. was a member. For the expression *τὴν ἐπὶ τοὺς ὅρκους* cf. 19. 57, *ἀπεδημήσαμεν ἐπὶ τοὺς ὅρκους*: ib. 17, 96, *αἱρεθεὶς ἐπὶ τοὺς ὅρκους*.

προὔλεγον] Cf. 19. 65. Compare the account given in 5. 10; 18. 31 sq.

§ 30. **ὡς ἐγὼ . . . εἰμί**] 19. 45, *ἐπαναστὰς δ' ὁ Φιλοκράτης μάλα ὑβριστικῶς, οὐδέν, ἔφη, θαυμαστὸν . . . μὴ ταὐτὰ ἐμοὶ καὶ Δημοσθένει δοκεῖν. οὗτος μὲν γὰρ ὕδωρ, ἐγὼ δὲ οἶνον πίνω· ὑμεῖς δὲ ἐγελᾶτε.* Cf. Mr. Shill. in l. Philocrates was evidently a believer in the dictum of Cratinus, *ὕδωρ δὲ πίνων χρηστὸν ἂν τέκοις;* The last words of the quotation remind one of what Dem. says in 23. 206, *ὑμεῖς δὲ . . τοὺς τὰ μέγιστ' ἀδικοῦντας καὶ φανερῶς ἐξελεγχομένους ἂν ἓν ἢ δύο ἀστεῖα εἴπωσι . . ἀφίετε.*

δ. . . . τις] "a sour and peevish (sort of) fellow." Arist. *Eq.* 45; Pl. *Rep.* 2. 358 A, *ἐγώ τις, ὡς ἔοικε, δυσμαθής.*

εἰμί] Cobet (*Nov. Lect.* p. 335) strangely objects to the pres. ind.: "non est bene Graecum quod legitur [Xen. *Hell.*] 2. 3. 45, *ἃ δ' αὖ εἶπον ὡς ἐγώ εἰμι οἷος ἀεί ποτε μεταβάλλεσθαι*, sed requiritur *ὡς ἐγὼ εἴην*. Semper" (which surely begs the question) "Xenophon in tali re optativum ponit, qui prorsus est necessarium si quis quid ab alio dictum esse refert quod ipso judice mendacium est; in quâ re multi *ἄρα* addunt, *ὡς ἄρα ἐγὼ εἴην*. Idem remedium exspectat Dem. 21. 104, *ἐτόλμα περὶ ἐμοῦ λέγειν ὡς ἐγὼ τὸ πρᾶγμ' εἰμὶ τοῦτο δεδρακώς*, immo vero *εἴην*." This *dictum*, like many others of this great scholar, is far too sweeping. Cf. e. g. 8. 4, 73; 22. 2. Plat. *Apol.* 18 B, passages which sufficiently defend the pres. ind. here.

ἐὰν παρέλθῃ] "should he pass the Straits" of Thermopylae.

Θεσπιάς] Cf. 5. 10; 19. 20 sq.

παύσει τῆς ὕ.] "humble the pride of the T." Cf. 19. 112, 220.

Χ. . . διορύξει] to protect it from

τὸν Ὠρωπὸν ἀντ' Ἀμφιπόλεως ὑμῖν ἀποδώσει· ταῦτα γὰρ ἅπαντα ἐπὶ τοῦ βήματος ἐνταῦθα μνημονεύετ' οἶδ' ὅτι ῥηθέντα, καίπερ ὄντες οὐ δεινοὶ τοὺς ἀδικοῦντας μεμνῆσθαι. 31. καὶ τὸ πάντων αἴσχιστον, καὶ τοῖς ἐκγόνοις πρὸς τὰς ἐλπίδας τὴν αὐτὴν εἰρήνην εἶναι ταύτην ἐψηφίσασθε· οὕτω τελέως ὑπήχθητε. τί δὴ ταῦτα νῦν λέγω καὶ καλεῖν φημὶ δεῖν τούτους; ἐγὼ νὴ τοὺς θεοὺς τἀληθῆ μετὰ παρρησίας ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι. 32. οὐχ ἵν' εἰς λοιδορίαν ἐμπεσὼν ἐμαυτῷ μὲν ἐξ ἴσου λόγον παρ'

the inroads of the Thracians. Expedients of this kind had been resorted to before. Plut. *Vit. Per.* c. 19, καὶ τὸν αὐχένα διαζώσας ἐρύμασι καὶ προβλήμασι ἐκ θαλάττης εἰς θάλατταν ἀπετείχισε τὰς καταδρομὰς τῶν Θρᾳκῶν τῶν περικεχυμένων τῇ Χερρονήσῳ. For the same purpose a wall was built across the neck of the Isthmus by Dercyllidas towards the end of the Peloponnesian War. Xen. *Hell.* 3. 2. 10. Cf. Ps. Dem. 7. 39.

τέλεσι] "at his own expense."

Ὠρωπόν] Cf. Grote, 11. 573. 19. 22, 220, 325 sq.

ἐνταῦθα] Bekk. with S, remarking however "praestat ἐνταυθί et hoc loco et 23. 77 et 41. 23." Dind. has here, as elsewhere, ἐνταυθί. Cf. Mr. Shill. *de Fals. Leg.* § 356.

δεινοί] "famous for" (2. 20). For this trait in the character of the Athenians see 18. 99.

§ 31. **τὸ π. αἴσχιστον**] 2. 1; 3. 31.

τοῖς ἐκγόνοις] "should descend also (τὴν αὐτήν) to his descendants." Cf. 19. 48, 52 sq., where the clause is criticized. From these passages it is clear that by ἐκγόνοις are meant Philip's descendants, not "your descendants," as Mr. Kennedy and Grote (11. 575, note) think.

ὑπήχθητε] "were you led away."

ἐρῶ . . καὶ οὐκ ἀποκρύψομαι] a common form of expression, in which "Graeco more id quod antea affirmando expressum est rursus per negationem exprimitur" (Weber Aristocr. § 90); 6. 5, ῥᾴδιον καὶ πόνος οὐδεὶς . . : 13. 10, ἐρῶ καὶ οὐκ ἀποκρύψομαι: 8. 73, λέξω . . καὶ οὐκ ἀποκρύψομαι: 18. 56; 19. 3; Soph. *El.* 929, ἡδὺς οὐδὲ μητρὶ δυσχερής. "and without reserve."

§ 32. **λόγον . . . ποιήσω**] West., Redhantz, &c., follow Schäfer, who translates, "non ut conviciatoribus congressus mihi quidem eandem apud vos audientiam faciam, quam vos, quâ estis levitate, adversariis meis praebetis." But Whiston rightly, I think, agrees with Mr. Kennedy in denying that ἐμαυτῷ λόγον ποιήσω can = ἵνα λόγου τύχω. Nor is the difficulty removed by the passage from 23. 81, quoted by Redhantz in support of Schäfer's view, ἀλλ' οὐδὲ τούτῳ λόγον οὐδὲ κρίσιν πεποίηκεν, said of the framer of a law. κρίσιν ποιεῖν τινί is a regular phrase, to which λόγον might legitimately be added, though ποιεῖν λόγον might in itself be an inadmissible expression. The meaning probably is, "it is not that I may fall a wrangling and draw upon myself a return in kind—provoke recrimination from my adversaries before you, and thus give them a fresh pretext for getting more from Philip by a display of zeal in defending him from my attack." He had alluded to the wrangling of the speakers before in 4. 44: cf. 18. 3.

ὑμῖν ποιήσω, τοῖς δ' ἐμοὶ προσκρούσασιν ἐξ ἀρχῆς καινὴν παράσχω πρόφασιν τοῦ πάλιν τι λαβεῖν παρὰ Φιλίππου, οὐδ' ἵνα ὡς ἄλλως ἀδολεσχῶ. ἀλλ' οἶμαί ποθ' ὑμᾶς λυπήσειν ἃ Φίλιππος πράττει, μᾶλλον ἢ τὰ νυνί· 33. τὸ γὰρ πρᾶγμα ὁρῶ προβαῖνον, καὶ οὐχὶ βουλοίμην μὲν ἂν εἰκάζειν ὀρθῶς, φοβοῦμαι δὲ μὴ λίαν ἐγγὺς ᾖ τοῦτ' ἤδη. ὅταν οὖν μηκέθ' ὑμῖν ἀμελεῖν ἐξουσία γίγνηται τῶν συμβαινόντων, μηδ' ἀκούηθ' ὅτι ταῦτ' ἐφ' ὑμᾶς ἐστιν ἐμοῦ μηδὲ τοῦ δεῖνος, ἀλλ' αὐτοὶ πάντες ὁρᾶτε καὶ εὖ εἰδῆτε, ὀργίλους καὶ τραχεῖς ὑμᾶς ἔσεσθαι νομίζω. 34. φοβοῦμαι δὴ μὴ τῶν πρέσβεων σεσιωπηκότων ἐφ' οἷς αὐτοῖς συνίσασι δεδωροδοκηκόσι, τοῖς ἐπανορθοῦν τι πειρωμένοις τῶν διὰ τούτους ἀπολωλότων τῇ παρ' ὑμῶν ὀργῇ περιπεσεῖν συμβῇ· ὁρῶ γὰρ ὡς τὰ πολλὰ ἐνίους οὐκ εἰς τοὺς αἰτίους ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα μάλιστα τὴν ὀργὴν ἀφιέντας. 35. ἕως οὖν ἔτι μέλλει καὶ συνίσταται τὰ πράγματα καὶ κατακούομεν

τοῖς . . ἐξ ἀρχῆς] Aeschines and Philocrates.

ὡς ἄλλως] Bekk. st. from F S; Bekk. *τὴν ἄλλως*. "prate idly." *ὡς* must be understood as in *ὡς ἑτέρως*, supr. § 10; Soph. *El.* 1429, *ὡς ἠπίως*: Pl. *Cratyl.* 395 B, *ἃ πρὸς τὸν Θυέστην ὡς ὠμὰ διεπράττετο.*

ἢ τὰ νυνί] "than it does now."

§ 33. **οὐχὶ βουλοίμην**] similarly *οὐ* attaches itself to *φημί, οἶμαι, προσποιοῦμαι*, &c.,—a transposition of the negative foreign to our idiom, which requires that the negative should follow the verb. The deviation from the regular usage in Xen. *Anab.* 3. 2. 16, *ὁπότε καὶ πεῖραν ἤδη ἔχετε αὐτῶν, ὅτι θέλουσι καὶ πολλαπλάσιοι ὄντες μὴ δέχεσθαι ἡμᾶς*, is surprising. West. omits *μέν* after *βουλοίμην*, with S. It is hardly necessary to point out how easily the preceding syllable might cause its omission. The meaning is, "and though I hope I may not be a true prophet, I fear this is now only too near." For the position of *ἤδη* cf. 4. 8.

ἀμελεῖν ἐξουσία] cf. 1. 15, *ἀνάγκη ποιεῖν*. "When the time comes that you have no longer the power to disregard what is happening, when you do not hear from me or another that these measures are directed against you, but you all see it yourselves, and are certain that it is so, I expect you will be wrathful and savage."

τοῦ δεῖνος] 2. 31.

§ 34. **δεδωροδοκηκόσι**] Bekk.; *δεδωροδοκηκότες* Dind. and West. Both constructions are legitimate (Madv. 178 *a*, r. 7). "I fear that as the Amb. have kept secret the purposes for which they know they were bribed . . . to fall under your anger." Cf. 18. 42.

τῇ παρ' ὑμῶν] Cf. on 1. 10, *τῆς παρ' ἐκείνων εὐνοίας*.

ὡς τὰ πολλά] "generally." Pl. *Rep.* 1. 330 C, *ὡς τὸ πολύ*.

τοὺς ὑπὸ χεῖρα] compare what he says in 1. 16.

§ 35. **ἕως**] "while therefore the storm is yet to come and is gathering." Cf. 18. 62, *τοῦ φυομένου καὶ συνισταμένου κακοῦ*.

ἀλλήλων, ἕκαστον ὑμῶν, καίπερ ἀκριβῶς εἰδότα, ὅμως ἐπαναμνῆσαι βούλομαι τίς ὁ Φωκέας πείσας καὶ Πύλας ὑμᾶς προέσθαι, ὧν καταστὰς ἐκεῖνος κύριος τῆς ἐπὶ τὴν Ἀττικὴν ὁδοῦ καὶ τῆς εἰς Πελοπόννησον κύριος γέγονε, καὶ πεποίηχ' ὑμῖν μὴ περὶ τῶν δικαίων μηδ' ὑπὲρ τῶν ἔξω πραγμάτων εἶναι τὴν βουλήν, ἀλλ' ὑπὲρ τῶν ἐν τῇ χώρᾳ καὶ τοῦ πρὸς τὴν Ἀττικὴν πολέμου, ὃς λυπήσει μὲν ἕκαστον ἐπειδὰν παρῇ, γέγονε δ' ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. 36. εἰ γὰρ μὴ παρεκρούσθητε τόθ' ὑμεῖς, οὐδὲν ἂν ἦν τῇ πόλει πρᾶγμα· οὔτε γὰρ ναυσὶ δήπου κρατήσας εἰς τὴν Ἀττικὴν ἦλθεν ἄν ποτε στόλῳ Φίλιππος, οὔτε πεζῇ βαδίζων ὑπὲρ τὰς Πύλας καὶ Φωκέας, ἀλλ' ἢ τὰ δίκαι' ἂν ἐποίει καὶ τὴν εἰρήνην ἄγων ἡσυχίαν εἶχεν, ἢ παραχρῆμ' ἂν ἦν ἐν ὁμοίῳ πολέμῳ δι' ὃν τότε τῆς εἰρήνης ἐπεθύμησεν. 37. ταῦτ' οὖν ὡς μὲν ὑπομνῆσαι,

τίς ὁ . . . πείσας] Aeschines is meant: cf. 18. 35 sq.

ὧν κ.] "to give up the P. and Pylae, by gaining the command of which he has become master of the road to Attica and that leading to the P." For the change of preposition cf. 1. 5; 3. 1 al. The importance to Athens of Phocis and Pylae is often insisted on: 19. 83, *τίς . . οὐκ οἶδεν ὑμῶν ὅτι τῷ Φωκέων πολέμῳ καὶ τῷ κυρίους εἶναι Πυλῶν Φωκέας ἥ τε ἀπὸ Θηβαίων ἄδεια ὑπῆρχεν ὑμῖν, καὶ τὸ μηδέποτ' ἂν ἐλθεῖν εἰς Πελοπόννησον μηδ' εἰς Εὔβοιαν μηδ' εἰς τὴν Ἀττικὴν Φίλιππον μηδὲ Θηβαίους;* ib. 180.

τῶν δικαίων] "your rights (as they might be affected by the peace) or your interests abroad, but about those at home (1. 15) and the war against Attica." *περί* and *ὑπέρ* here again without any real difference of meaning: cf. 1. 5.

γέγονε δ'] "nay, which has begun from that day," on which the Assembly was held to receive the report of the ambassadors. Cf. 19. 58; Grote, 11. 535.

§ 36. **ναυσί**] "at sea." On the fleet of Philip cf. 4. 21, and Grote there quoted. At the time when the First Philippic was delivered Dem. thought ten triremes sufficient to convoy the armament. Philip's naval power was much increased after that. Ps. Dem. 7. 16.

πεζῇ . . ὑπέρ] "nor by land marching beyond P. and P." *βαδίζω* is the regular antithesis to *πλεῖν* or going by sea. Cf. Mr. Shill. *de F. Leg.* § 171.

ὑπέρ] Xen. *An.* 1. 1. 9, *τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι,* where L. Dind. quotes Pl. *Cratyl.* 108 E, *τοὺς ὑπὲρ Ἡρακλείας στήλας ἔξω κατοικοῦντας.*

Φωκέας] as 9. 11 and passim, where we speak of the country only.

ἀλλ' ἤ] "but he would either have continued to act with justice, and, observing the peace, have kept quiet, or would at once have been involved in a war similar to that which made him anxious for the peace."

δι' ὅν] i. e. *οἷος ἦν δι' ὅν.*

§ 37. **ὡς . . . ὑπομνῆσαι**] "what has been said is sufficient to serve as a reminder," "to awaken recollection" (Mr. K.). Madv. 151.

νῦν ἱκανῶς εἴρηται, ὡς δ' ἂν ἐξετασθείη μάλιστ' ἀκριβῶς, μὴ γένοιτο, ὦ πάντες θεοί· οὐδένα γὰρ βουλοίμην ἂν ἔγωγε, οὐδ' εἰ δίκαιός ἐστ' ἀπολωλέναι, μετὰ τοῦ πάντων κινδύνου καὶ τῆς ζημίας δίκην ὑποσχεῖν.

ὡς .. ἂν ἐξ.] Supr. § 4, "but how it might be .." "but that it should be exactly verified, avert it all ye gods!" If the fears he had expressed in § 33 sq. were verified, the traitors would indeed be punished, but their treason must issue in the ruin of their country.

μετά] 3. 36. "for no one would I wish to see punished, however much he deserves to die, to the danger and damage of all"—when his punishment involves the ruin ot all.

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Γ.

ΥΠΟΘΕΣΙΣ.—*Ἁπλῆ τοῦ λόγου τούτου ἡ ὑπόθεσις· Φιλίππου γὰρ λόγῳ μὲν εἰρήνην ἄγοντος ἔργῳ δὲ πολλὰ ἀδικοῦντος, συμβουλεύει τοῖς Ἀθηναίοις ὁ ῥήτωρ ἀναστῆναι καὶ ἀμύνασθαι τὸν βασιλέα, ὡς κινδύνου μεγάλου καὶ αὐτοῖς ἐπικρεμαμένου καὶ πᾶσι κοινῇ τοῖς Ἕλλησιν.*

1. *Πολλῶν*, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν περὶ ὧν Φίλιππος, ἀφ' οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς ἀλλὰ καὶ τοὺς ἄλλους ἀδικεῖ, καὶ πάντων οἶδ' ὅτι φησάντων γ' ἄν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν δεῖν καὶ πράττειν ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦθ' ὑπηγμένα πάντα τὰ

ARGUMENT.—This speech, as also that on the Chersonesus, delivered about three months before it, belongs to the year 342 B.C. The date is fixed by *νῦν ἐπὶ Θρᾴκην παριόντα*, which Diod. Sic. refers to Ol. 109. 2, i. e. to the latter half of B.C. 343 or the first half of B.C. 342. Again, it is said in § 32, *τίθησι τὰ Πύθια . . κἂν αὐτὸς μὴ παρῇ, τοὺς δούλους ἀγωνοθετήσοντας πέμπει.* Philip presided himself at the celebration of the games in the summer or autumn (Thirl. 6. 5) of B.C. 346. This speech must therefore have been delivered towards the end of the autumn of B.C. 342 at the earliest. For the circumstances which led to it see Thirl. 6, p. 27; Grote, 11. 623.

§ 1. With the commencement of this speech cf. 6. 1 sq.

ὀλίγου δεῖν] Madv. 168 *b*. "many speeches are made in almost every assembly about the wrongs which . . and all would, I feel sure, . . . still our affairs . ."

ἀδικεῖ] Madv. 110, r. 1. The peace was concluded in March, B.C. 346.

οἶδ' ὅτι] 6. 28.

ποιοῦσι τοῦτο] Some have wrongly referred these words to *φησάντων*, as if the meaning were, "would say so, though they don't do so actually," a way in which *ποιῶ* is often used. Cf. Mr. Shill. *de F. Leg.* § 225 n. cr. But the meaning obviously is, "and all, though they do not actually direct every speech and measure to the one object of humbling and chastising Philip, would at any rate allow that this ought to be done."

ὅπως] with the fut. ind. after *πράττειν*, as 1. 2, *ὅπως βοηθήσετε*, where see the note.

π. τῆς ὕβρεως] 6. 30, *Θηβαίους δὲ παύσει τῆς ὕβρεως.*

ὑπηγμένα] "per negligentiam et socordiam eo deducta, ad conditionem tam lamentabilem delapsa" (Reiske); "brought to such a state by inadvertence and neglect." 23.

πράγματα καὶ προειμένα ὁρῶ ὥστε δέδοικα μὴ βλάσφημον μὲν εἰπεῖν ἀληθὲς δ' ᾖ· εἰ καὶ λέγειν ἅπαντες ἐβούλοντο οἱ παριόντες καὶ χειροτονεῖν ὑμεῖς ἐξ ὧν ὡς φαυλότατ' ἔμελλε τὰ πράγμαθ' ἕξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι χεῖρον ἢ νῦν διατεθῆναι. 2. πολλὰ μὲν οὖν ἴσως ἐστὶν αἴτια τούτων, καὶ οὐ παρ' ἓν οὐδὲ δύο εἰς τοῦτο τὰ πράγματα ἀφῖκται, μάλιστα δ', ἄνπερ ἐξετάζητε ὀρθῶς, εὑρήσετε διὰ τοὺς χαρίζεσθαι μᾶλλον ἢ τὰ βέλτιστα λέγειν προαιρουμένους, ὧν τινὲς μέν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν οἷς εὐδοκιμοῦσιν αὐτοὶ καὶ δύνανται, ταῦτα φυλάττοντες οὐδεμίαν περὶ τῶν μελλόντων πρόνοιαν ἔχουσιν, ἕτεροι δὲ τοὺς ἐπὶ τοῖς πράγμασιν ὄντας αἰτιώμενοι καὶ διαβάλλοντες οὐδὲν ἄλλο ποιοῦσιν ἢ

173, *συμβαίνει τοῖς χρόνοις εἰς τοὔθ' ὑπηγμένα τὰ πράγματ' ἤδη.*

βλ. μὲν . . . ἀληθὲς δ'] "I am afraid, though a severe thing to say, it is nevertheless true . ." Infr. 5.

εἰ καί] With the asyndeton cf. 6. 4; *καί* with *λέγειν*. "had all the speakers (6. 3) meant to propose and you to pass measures intended to bring our affairs to ruin, I do not think . ."

§ 2. **ἴσως]** "no doubt."

παρ' ἕν, κ.τ.λ.] 4. 10. "and it is not owing to one or two (either) that . ." but **διὰ τούς** of *persons*. Fr. says, "i. e. *οὐ παρ' ἓν οὐδὲ παρὰ δύο*." No doubt the orator could have said so, but it would not be correct on that account to say that a second *παρά* is to be supplied here. As a matter of fact the second preposition is very often wanting: after *οὐ μόνον . . ἀλλὰ καί*, 19. 341; *ἢ . . ἤ*, 21. 114; *ἤ*, 20. 142 *ὑπὲρ ἄλλου τινὸς ἢ τοῦ τῆς πόλεως ἀξιώματος*. *καὶ . . καί*, Lys. 1. 2; *καὶ ἐν δημοκρατίᾳ καὶ ὀλιγαρχίᾳ οὕτως . . ὡς*, 19. 263; and in cases like 21. 155, *κατὰ ταύτην τὴν ἡλικίαν ἣν ἐγὼ νῦν*: 18. 134, *ἀπὸ τῆς ἀγνοίας ἧσπερ*, . . &c. An examination of such instances will prove to the young student that the principle which governs the omission is the same as in the case of the article, noticed on 2. 9, and that our own idiom is here also his best guide. "but if you only examine rightly, you will find that this is mainly owing to those who make it their study to please you (cf. 3. 24)."

τινὲς μέν] Eubulus and his friends.

ἐν οἷς] "in and by which." 18. 19, *ἐν οἷς ἡμάρτανον οἱ ἄλλοι . . . αὐτὸς παρεσκευάζετο*: 23. 23, *δωρεὰν ἐν ᾗ πολίτης γέγονεν*: Lys. 26. 9, *ἐν τῷ ἄρχειν . . ἡ πολιτεία σώζεται*: infr. 64. "seeking to maintain a state of things through which they themselves enjoy power and repute . ."

δύνανται = *δυνατοί εἰσι* (20. 191; 21. 207; 23. 174).

ἕτεροι] Aeschines and others who played into the hands of Philip.

τοὺς ἐπὶ . . ὄντας] "those who conduct public affairs." 6. 12; Thuc. 3. 11: cf. 2. 12. Infr. 56 we have *τῶν ἐν τοῖς πράγμασι τινές*.

οὐδὲν . . ἤ] "only aim at making . . . and occupy herself with this, leaving P. free to . ." "thus leaving P. at liberty . ." West., Redh., and Fr. omit *μέν* after *πόλις* on the authority of S. Cf. 6. 33.

ὅπως ἡ μὲν πόλις αὐτὴ παρ' αὑτῆς δίκην λήψεται καὶ περὶ τοῦτ' ἔσται, Φιλίππῳ δ' ἐξέσται καὶ λέγειν καὶ πράττειν ὅ τι βούλεται. 3. αἱ δὲ τοιαῦται πολιτεῖαι συνήθεις μέν εἰσιν ὑμῖν, αἴτιαι δὲ τῶν κακῶν. ἀξιῶ δ', ὦ ἄνδρες Ἀθηναῖοι, ἐάν τι τῶν ἀληθῶν μετὰ παρρησίας λέγω, μηδεμίαν μοι διὰ τοῦτο παρ' ὑμῶν ὀργὴν γενέσθαι. σκοπεῖτε γὰρ ὡδί. ὑμεῖς τὴν παρρησίαν ἐπὶ μὲν τῶν ἄλλων οὕτω κοινὴν οἴεσθε δεῖν εἶναι πᾶσι τοῖς ἐν τῇ πόλει ὥστε καὶ τοῖς ξένοις καὶ τοῖς δούλοις αὐτῆς μεταδεδώκατε, καὶ πολλοὺς ἄν τις οἰκέτας ἴδοι παρ' ὑμῖν μετὰ πλείονος ἐξουσίας ὅ τι βούλονται λέγοντας ἢ πολίτας ἐν ἐνίαις τῶν ἄλλων πόλεων, ἐκ δὲ τοῦ συμβουλεύειν παντάπασιν ἐξεληλάκατε. 4. εἶθ' ὑμῖν συμβέβηκεν ἐκ τούτου ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούουσιν, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδη κινδυνεύειν. εἰ μὲν οὖν καὶ νῦν οὕτω διάκεισθε, οὐκ ἔχω τί λέγω· εἰ δ' ἃ συμφέρει χωρὶς κολακείας ἐθελήσετε ἀκούειν, ἕτοιμος λέγειν. καὶ γὰρ εἰ πάνυ φαύλως τὰ πράγματα ἔχει καὶ πολλὰ προεῖται, ὅμως

περὶ τ. ἔσται] Xen. *An.* 3. 5. 7, οἱ μὲν ἄλλοι περὶ τὰ ἐπιτήδεια ἦσαν: Ps. Dem. 25. 61, περὶ τὴν . . συμφορὰν . . γενόμενος: Ps. Dem. 13. 20, οἱ πολιτευόμενοι καὶ περὶ ταῦτα ὄντες.

§ 3. **συνήθεις μὲν . . δέ**] supr. 3. "such courses of policy, though familiar, are . ."

ὀργὴν γ.] Cf. 3. 3, and note 3. 10.

ἐπὶ . . τῶν ἄ.] "for only consider. So strongly do you hold that in all other cases freedom of speech ought to be enjoyed by all residents in the city without distinction (κοινήν), that you have granted a measure of it . ." West. quotes Xen. *Rep. Ath.* 1. 12, διὰ τοῦτο οὖν ἰσηγορίαν καὶ τοῖς δούλοις πρὸς τοὺς ἐλευθέρους ἐποιήσαμεν καὶ τοῖς μετοίκοις πρὸς τοὺς ἀστούς, and Eur. *Phoen.* 390.

πολίτας] "than citizens," i. e. than the general body of citizens in oligarchies. Freedom of speech there might bring on those bold enough to indulge in it the fate pithily expressed by Critias in Xen. *Hell.* 2. 3. 16: ἐάν τινα αἰσθανώμεθα ἐναντίον τῇ ὀλιγαρχίᾳ, ὅσον δυνάμεθα ἐκποδὼν ποιούμεθα.

ἐκ δὲ τοῦ σ.] Comp. what he says in 3. 32.

§ 4. **ἐν μὲν ταῖς . . κινδυνεύειν**] The same words are found in 8. 34.

τρυφᾶν] Aesch. 3. 20, οἱ δ' ὑμέτεροι ῥήτορες τρυφῶσι: Dem. 19. 197; Arist. *Eq.* 1159. "you give yourselves airs and are flattered at hearing nothing but what is pleasant (1. 15), while in your affairs and circumstances you are in imminent peril."

οὐκ ἔχω τί λ.] "non habeo quod dicam," "I have nothing to say." Madv. 121.

ἕτοιμος] 4. 39. καί in καὶ γάρ must be taken with εἰ. "for even if our affairs are in a wretched state, and many interests . ."

ἔστιν, ἐὰν ὑμεῖς τὰ δέοντα ποιεῖν βούλησθ', ἔτι πάντα ταῦτα ἐπανορθώσασθαι. 5. καὶ παράδοξον μὲν ἴσως ἐστὶν ὃ μέλλω λέγειν, ἀληθὲς δέ· τὸ χείριστον ἐν τοῖς παρεληλυθόσι, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί οὖν ἐστὶ τοῦτο; ὅτι οὔτε μικρὸν οὔτε μέγα οὐδὲν τῶν δεόντων ποιούντων ὑμῶν κακῶς τὰ πράγματα ἔχει, ἐπεί τοι, εἰ πάνθ' ἃ προσῆκε πραττόντων οὕτω διέκειτο, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ γενέσθαι βελτίω. νῦν δὲ τῆς μὲν ῥᾳθυμίας τῆς ὑμετέρας καὶ τῆς ἀμελείας κεκράτηκε Φίλιππος, τῆς πόλεως δ' οὐ κεκράτηκεν· οὐδ' ἥττησθε ὑμεῖς, ἀλλ' οὐδὲ κεκίνησθε.

6. Εἰ μὲν οὖν ἅπαντες ὡμολογοῦμεν Φίλιππον τῇ πόλει πολεμεῖν καὶ τὴν εἰρήνην παραβαίνειν, οὐδὲν ἄλλο ἔδει τὸν παριόντα λέγειν καὶ συμβουλεύειν ἢ ὅπως ἀσφαλέστατα καὶ ῥᾷστα αὐτὸν ἀμυνούμεθα· ἐπειδὴ δὲ οὕτως ἀτόπως ἔνιοι διάκεινται ὥστε πόλεις καταλαμβάνοντος ἐκείνου καὶ πολλὰ τῶν ὑμετέρων ἔχοντος καὶ πάντας ἀνθρώπους ἀδικοῦντος ἀνέχεσθαι τινῶν ἐν ταῖς ἐκκλησίαις λεγόντων πολλάκις ὡς ἡμῶν τινές εἰσιν οἱ ποιοῦντες τὸν πόλεμον, 7. ἀνάγκη

§ 5. **παράδοξον**] Cf. 3. 10. Comp. 18. 199; 19. 99; 24. 122. Lyc. § 49, *εἰ δὲ δεῖ καὶ παραδοξότατον μὲν εἰπεῖν, ἀληθὲς δὲ . .* Isocr. 12. 176 al. "now what I am going to say may sound paradoxical, but it is true." Cf. the very similar passage in 4. 2.

ῥ. . . καὶ . . ἀμελείας] a not unfrequent combination (Isocr. 2. 10, *μὴ ῥᾳθυμεῖν μηδὲ ἀμελεῖν*), hence the opposition in Arist. *Rh.* 1. 12. 19, *καὶ τοὺς ῥᾳθύμους . . ἐπιμελοῦς γὰρ τὸ ἐπεξελθεῖν.*

κεκίνησθε] "nay, you have not even moved," "stirred yourselves" —"far from being worsted, you have not appeared in the field at all." Some, in order to make a fuller opposition to *ἥττησθ'*, understand *κεκίνησθε* in the sense of "loco moti estis." 8. 37 supports the view I have taken.

Sections 6 and 7, **Εἰ μέν** to *πολεμεῖν δεῖ*, are wanting in S. Bekk. and Dind., rightly I think, retain them. As the words *εἰ μὲν οὖν* stand at the beginning of 6 and 8, it is probable that the omission arose from a mere oversight of the copyist, as Beuseler suggests.

§ 6. On **ἔδει** without **ἄν**, Madv. 118. "nothing else were it needful for the speaker to propose and advise but the safest and easiest way of . ."

ἀτόπως . . δ.] "but since, at the very time when . . some are unreasonable enough . ."

ἀνέχεσθαι] "to put up with," "tolerate."

τινές] the indefinite subject to *οἱ* ·. Xen. *An.* 2. 4. 5, *ὁ ἡγησόμενος οὐδεὶς ἔσται*: Lys. 19. 57, *εἰσὶ δέ τινες οἱ προαναλίσκοντες*: Isocr. 8. 139; Dem. 24. 143. "that some of ourselves are the persons who are causing the war . ." For the difference between *ποιεῖν* and *ποιεῖσθαι πόλεμον* cf. Don. p. 435.

φυλάττεσθαι καὶ διορθοῦσθαι περὶ τούτου· ἔστι γὰρ δέος μή ποθ' ὡς ἀμυνούμεθα γράψας τις καὶ συμβουλεύσας εἰς τὴν αἰτίαν ἐμπέσῃ τοῦ πεποιηκέναι τὸν πόλεμον. ἐγὼ δὴ τοῦτο πρῶτον ἁπάντων λέγω καὶ διορίζομαι, εἰ ἐφ' ἡμῖν ἐστὶ τὸ βουλεύεσθαι περὶ τοῦ πότερον εἰρήνην ἄγειν ἢ πολεμεῖν δεῖ. 8. εἰ μὲν οὖν ἔξεστιν εἰρήνην ἄγειν τῇ πόλει καὶ ἐφ' ἡμῖν ἐστὶ τοῦτο, ἵν' ἐντεῦθεν ἄρξωμαι, φημὶ ἔγωγε ἄγειν ἡμᾶς δεῖν, καὶ τὸν ταῦτα λέγοντα γράφειν καὶ πράττειν καὶ μὴ φενακίζειν ἀξιῶ· εἰ δ' ἕτερος τὰ ὅπλα ἐν ταῖς χερσὶν ἔχων καὶ δύναμιν πολλὴν περὶ αὐτὸν τοὔνομα μὲν τὸ τῆς εἰρήνης ὑμῖν προβάλλει, τοῖς δ' ἔργοις αὐτὸς τοῖς τοῦ πολέμου χρῆται, τί λοιπὸν ἄλλο πλὴν ἀμύνεσθαι; φάσκειν δὲ εἰρήνην ἄγειν εἰ βούλεσθε, ὥσπερ ἐκεῖνος, οὐ διαφέρομαι. 9. εἰ δέ τις ταύτην εἰρήνην ὑπολαμβάνει ἐξ ἧς ἐκεῖνος πάντα τἄλλα λαβὼν ἐφ' ἡμᾶς ἥξει, πρῶτον μὲν μαίνεται, ἔπειτα ἐκείνῳ παρ' ὑμῶν, οὐχ ὑμῖν παρ' ἐκείνου τὴν εἰρήνην λέγει·

§ 7. **διορθοῦσθαι**] Dind. in his notes adopts H. Wolf's tr., "cautione vehementer opus est, ut hoc recte constituatur," "should be set right." The next sentence shows that the meaning is probably the same—"to take security," "secure oneself"—as in 33. 11 (*ἐπειδὴ ἔλαβον τοῦτον ἀδικοῦντα, διωρθωσάμην ὑπὲρ ἐμαυτοῦ καὶ τοῦ ξένου*). The following words give the reason why such caution was necessary.

ὡς ἀ.] lit. "how we shall defend ourselves;" "a measure of defence," Mr. K.

ἐγὼ δή] "I first then discuss and settle this point, whether it is in our power to deliberate on the question of peace or war;" "is it in our power . . . on the question whether we ought . . . or go to war?"

§ 8. **ταῦτα**] i. e. that it is in our power to do so. On the plural, 1. 7; 2. 25.

πράττειν] "id agere, ut quod rogaverit decernatur ratumque fiat" (Fr.). "and I call upon . . to make a motion and take action, and not prevaricate."

τὰ . . ἐν ταῖς χ.] Madv. 8.

περὶ αὐτόν] "at the head of."

προβάλλει] "puts forward," as a cloak to hide his designs. In the middle voice (Thuc. 1. 37; 3. 63): "puts forward to you the name of peace, while he himself . ."

οὐ διαφέρομαι] "non repugno, non refragor. Usu congruit, etsi significatione differt, quod vulgo dicunt *οὐδέν μοι διαφέρει*" (Schäf.). *φάσκειν* emphatic—"if you choose to *profess* . . as he does, I have nothing to say against it," "I don't quarrel with it."

§ 9. **ταύτην εἰρήνην**] "calls that a peace which will enable him after he has . ." On *ταύτην*, Madv. 11, r. 1.

ἐξ ἧς] 1. 7; 6. 27, *ἐκ τοῦ μηδὲν* . .

πρῶτον μὲν . . ἔπειτα] cf. 2. 1. "he is mad, and besides he talks about a peace which is observed on your part towards him . ."

σταδιον = 606 ft. about a furlong.

τοῦτο δ' ἐστὶν ὃ τῶν ἀναλισκομένων χρημάτων πάντων Φίλιππος ὠνεῖται, αὐτὸς μὲν πολεμεῖν ὑμῖν, ὑφ' ὑμῶν δὲ μὴ πολεμεῖσθαι.

10. Καὶ μὴν εἰ μέχρι τούτου περιμενοῦμεν, ἕως ἂν ἡμῖν ὁμολογήσῃ πολεμεῖν, πάντων ἐσμὲν εὐηθέστατοι· οὐδὲ γὰρ ἂν ἐπὶ τὴν Ἀττικὴν αὐτὴν βαδίζῃ καὶ τὸν Πειραιᾶ, τοῦτ' ἐρεῖ, εἴπερ οἷς πρὸς τοὺς ἄλλους πεποίηκε δεῖ τεκμαίρεσθαι. 11. τοῦτο μὲν γὰρ Ὀλυνθίοις τετταράκοντ' ἀπέχων τῆς πόλεως στάδια εἶπεν ὅτι δεῖ δυοῖν θάτερον, ἢ 'κείνους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν ἢ αὐτὸν ἐν Μακεδονίᾳ, πάντα τὸν ἄλλον χρόνον, εἴ τις αὐτὸν αἰτιάσαιτό τι τοιοῦτον, ἀγανακτῶν καὶ πρέσβεις πέμπων τοὺς ἀπολογησομένους· τοῦτο δ' εἰς Φωκέας ὡς πρὸς συμμάχους ἐπορεύετο, καὶ πρέσβεις Φωκέων ἦσαν οἳ παρηκολούθουν αὐτῷ πορευομένῳ, καὶ παρ' ἡμῖν ἤριζον πολλοὶ Θηβαίοις οὐ λυσιτελήσειν τὴν ἐκείνου πάροδον. 12. καὶ μὴν καὶ Φερὰς πρῴην ὡς φίλος καὶ σύμμαχος εἰς Θετταλίαν ἐλθὼν ἔχει καταλαβών, καὶ τὰ τελευταῖα τοῖς

τῶν . . χρ.] 3. 22. "with all the treasure he is lavishing."

αὐτὸς μέν, κ.τ.λ.] explanatory of *τοῦτο*. infr. 23; 3. 7. On the nom. *αὐτός* with the inf., 4. 7.

§ 10. **εἰ . . περιμενοῦμεν . . ἐσμέν**] cf. 1. 19. "if we mean to wait . . we are the most simple of men."

βαδίζῃ] 6. 36. "is in full march . ." 1. 12 and 25.

§ 11. **τοῦτο μέν**] "for example."

'Ολ.] cf. 8. 58, *οὐδ'* (did he admit that he was at war) *Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἐν αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων.*

δεῖ δ. θ.] "there was no choice, but they must . . ." Cf. Mr. Shill. *de F. Leg.* § 166. 18. 139, *καίτοι δυοῖν αὐτῷ ἀνάγκη θάτερον ἢ μηδέν·* "he has only one alternative." The force of *μή* is extended to *ἐν Μακεδονίᾳ*. Cobet (*N. Lect.* p. 661) inserts *μή* after *αὐτόν*.

ἢ 'κείνους] Bekk. st. *ἢ κείνους*. Cf. 4. 4.

π. τὸν ἄλλον χ.] "though before that whenever any one accused him of . . he was indignant . . ." *ἀγανακτῶν* and *πέμπων* represent the imperfects required after the opt. of indefinite frequency—*εἴ τις . . αἰτιάσαιτο*; cf. 6. 20. *τὸν ἄλλον χρ.* is sometimes, but rarely, used also of future time. Dem. 22. 3; Lyc. § 79.

ὡς πρός] "again he marched into Phocis (6. 36) as if to allies (he pretended to regard them in that light till he had them at his mercy), and there were . . . . who accompanied him on his march." Grote, 11. 587.

οὐ λ.] his passage of the Straits "would not benefit:" a meiosis. 3. 1; cf. 6. 30.

§ 12.] **ἔχει** has here its full force. He not only seized Pherae, but at that time held it with his troops. Madv. 180 *d*. On the subject here mentioned see Thirl. 6, p. 13. Ps. Dem. 7. 32, *Φεραίων μὲν ἀφῄρηται τὴν πόλιν καὶ φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν, ἵνα δὴ αὐτόνομοι ὦσι.* 8. 59.

τὰ τελ.] 2. 7.

ταλαιπώροις Ὠρείταις τουτοισὶ ἐπισκεψομένους ἔφη τοὺς στρατιώτας πεπομφέναι κατ' εὔνοιαν· πυνθάνεσθαι γὰρ αὐτοὺς ὡς νοσοῦσι καὶ στασιάζουσι, συμμάχων δ' εἶναι καὶ φίλων ἀληθινῶν ἐν τοῖς τοιούτοις καιροῖς παρεῖναι. 13. εἶτ' οἴεσθ' αὐτόν, οἳ ἐποίησαν μὲν οὐδὲν ἂν κακόν, μὴ παθεῖν δ' ἐφυλάξαντ' ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δ' ἐκ προρρήσεως πολεμήσειν, καὶ ταῦθ' ἕως ἂν ἑκόντες ἐξαπατᾶσθε; οὐκ ἔστι ταῦτα· 14. καὶ γὰρ ἂν ἀβελτερώτατος εἴη πάντων ἀνθρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν μηδὲν ἐγκαλούντων αὐτῷ, ἀλλ' ὑμῶν αὐτῶν τινὰς αἰτιωμένων, ἐκεῖνος ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν ὑμῶν καὶ φιλονεικίαν ἐφ' ἑαυτὸν προείποι τρέπεσθαι, καὶ τῶν παρ' ἑαυτοῦ μισθοφορούντων τοὺς λόγους ἀφέλοιτο, οἷς ἀναβάλλουσιν ὑμᾶς, λέγοντες ὡς ἐκεῖνός γε οὐ πολεμεῖ τῇ πόλει.

15. Ἀλλ' ἔστιν, ὦ πρὸς τοῦ Διός, ὅστις εὖ φρονῶν ἐκ τῶν

τοῖς . . Ὠ. depends, I think, on ἔφη: "and lastly he told the wretched people of Oreus . . out of good will to visit them . ." infr. §§ 27, 33. On the *anaphorical* use of the demonstrative τουτοισί see Mr. Shill. *de F. Leg.* § 213; Cobet, *N. Lect.* p. 629. Dem. 23. 111, ἴστε δήπου Φίλιππον . . τουτονὶ τὸν Μακεδόνα, and passim.

ἐπισκεψομένους] to pay them a sick visit. 54. 12, λέγε τὴν τῶν ἰατρῶν μαρτυρίαν καὶ τὴν τῶν ἐπισκοπούντων: 59. 56, ἐβάδιζον . . . γὰρ πρὸς αὐτὸν ὡς ἠσθένει . . . τὰ πρόσφορα τῇ νόσῳ φέρουσαι καὶ ἐπισκοπούμεναι.

αὐτούς] Madv. 191.

In **νοσοῦσι καὶ σ.** the particular kind of illness is added co-ordinately with καί, as in 6. 1, "suffering from internal disorders." Pl. *Rep.* 5. 470 C, νοσεῖν δ' ἐν τῷ τοιούτῳ τὴν Ἑλλάδα καὶ στασιάζειν, καὶ στάσιν τὴν τοιαύτην ἔχθραν κλητέον: ib. B, ἐπὶ γὰρ τῇ τοῦ οἰκείου ἔχθρᾳ στάσις κέκληται, ἐπὶ δὲ τῇ τῶν ἀλλοτρίων πόλεμος. Cf. 18. 45, αἱ δὲ πόλεις ἐνόσουν: Soph. *El.* 1070 al.

§ 13. **εἶτ'**] 1. 24.

οἳ . . μὲν . . δ'] The stress of the sentence is upon the clause introduced by δέ: cf. 2. 24. "do you then think that when he chose to deceive, rather than by giving them warning overpower by force, those who would have done him no harm (i. e. had he given them warning and formally declared war against them), though they might perhaps have taken measures to escape suffering it, he will make a formal declaration of war against *you*, and that so long as . . Impossible!" Cf. note to 6. 15, τοὺς μὲν ὄντας . . .

ἐκ πρ.] "ex edicto." Livy 1. 27.

§ 14. **τινάς**] "some of yourselves," i. e. of course those who saw through his designs and warned them against him.

ἀναβάλλουσιν] "put you off," "amuse you." Cf. note to 4. 14.

ἐκεῖνός γε] however it may be with others, "he at any rate."

§ 15. **ὦ πρὸς τοῦ Δ.**] An exclamation of impatience. 24. 157,

ὀνομάτων μᾶλλον ἢ τῶν πραγμάτων τὸν ἄγοντ' εἰρήνην ἢ πολεμοῦνθ' ἑαυτῷ σκέψαιτ' ἄν; οὐδεὶς δήπου. ὁ τοίνυν Φίλιππος ἐξ ἀρχῆς, ἄρτι τῆς εἰρήνης γεγονυίας, οὔπω Διοπείθους στρατηγοῦντος οὐδὲ τῶν ὄντων ἐν Χερρονήσῳ νῦν ἀπεσταλμένων, Σέρριον καὶ Δορίσκον κατελάμβανε καὶ τοὺς ἐκ Σερρίου τείχους καὶ Ἱεροῦ ὄρους στρατιώτας ἐξέβαλλεν, οὓς ὁ ὑμέτερος στρατηγὸς κατέστησεν. καίτοι ταῦτα πράττων τί ἐποίει; εἰρήνην μὲν γὰρ ὀμωμόκει. καὶ μηδεὶς εἴπῃ, 16. τί δὲ ταῦτ' ἐστίν, ἢ τί τούτων μέλει τῇ πόλει; εἰ μὲν γὰρ μικρὰ ταῦτα ἢ μηδὲν ὑμῖν αὐτῶν

φέρε γὰρ πρὸς Διὸς ἔστιν ὅστις ἂν ἢ πρότερός ποτ' ἐψήφισεν . . "but, in heaven's name, would any sane man judge from words rather than deeds (§ 8), who is . ." Cf. supr. § 2, note to *οὐ παρ' ἕν*.

ὁ τοίνυν] "well then, P. at the beginning, immediately after the conclusion of the peace (explanatory of *ἐξ ἀρχῆς*), before D. was yet general or those who are now . . had been sent, was . ." Cf. 8. 6.—Seribium and Doriscus are often mentioned by Dem.: 8. 64; 18. 27, 70; Ps. Dem. 7. 37. Hence the sneer of Aesch. 3. 82, *αὐτὸς* (Dem.) *ἐστιν . . ὁ πρῶτος ἐξευρὼν Σέρριον Τεῖχος καὶ Δόρισκον καὶ Ἐργίσκην καὶ Μουργίσκην* (Schulz has *Μύρτηνον*, as in Dem. 18. 27) *καὶ Γάνος καὶ Γαγίδα, χωρία ὧν οὐδὲ τὰ ὀνόματα ᾔδειμεν πρότερον*.

τοὺς ἐκ] 1. 15.

Ἱεροῦ Ὄρους] Cf. 19. 156. Why Dem. attached such importance to these places, he explains in 19. 180, also 18. 27.

ὁ ὑμ. στρ.] Chares.

τ. πράττων τί ἐποίει] 'quanquam haec agens quid faciebat." If these were not acts of hostility, whatever his professions may be, what were they? Pl. *Crit.* p. 51 A, *καὶ φήσεις ταῦτα ποιῶν δίκαια πράττειν;*

μὲν γάρ] 3. 10, *ἐγὼ μὲν γάρ* . . 8. 37, *ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ*: infr. 16; 21. 158. In these cases *γάρ* refers to the previous question, while *μέν* emphasizes the word to which it is attached.

ὀμωμόκει] Bekk.; Dind. &c. *ὠμωμόκει*. Cf. Mr. Shill. *de F. Leg.* 66, 295; 18. 32, *ἐπειδὴ γὰρ ὤμοσε τὴν εἰρήνην*. Though the treaty of peace had been concluded when Philip took the towns mentioned, he had not yet taken the oaths to the Athenian ambassadors. In 18. 30 Dem. makes it a charge against the ambassadors, that instead of hurrying to Philip's camp, they gave him the opportunity of making these conquests by delaying three months in Macedonia. Here, where his object is to make out as strong a case as possible against Philip, he naturally suppresses this side of the case.

§ 16. **τί δέ**] On this use of *δέ* cf. Mr. Shill. *de F. Leg.* § 54 n. crit. 8. 70, *εἴ τις ἔροιτό με Εἰπέ μοι, σὺ δὲ τί* . . : 28. 28, and so passim. "what do they signify? or how does any of these things concern us?"

τί . . ταῦτ' ἐστίν] Madv. 95 *b*, note. "whether these things were really insignificant, or did not concern you, would be another question," with which we have nothing to do; the matter before us is the *quality*, and not the insignificance or the reverse of the majority of them. 18. 44, *ἕτερος λόγος οὗτος*: 38. 8, *ἄλλος ἂν ἦν λόγος*.

ἔμελεν, ἄλλος ἂν εἴη λόγος οὗτος· τὸ δ' εὐσεβὲς καὶ τὸ δίκαιον ἄν τ' ἐπὶ μικροῦ τις ἄν τ' ἐπὶ μείζονος παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύναμιν. φέρε δὴ νῦν, ἡνίκ' εἰς Χερρόνησον, ἣν βασιλεὺς καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἐγνώκασιν εἶναι, ξένους εἰσπέμπει καὶ βοηθεῖν ὁμολογεῖ καὶ ἐπιστέλλει ταῦτα, τί ποιεῖ; 17. φησὶ μὲν γὰρ οὐ πολεμεῖν, ἐγὼ δὲ τοσούτῳ δέω ταῦτα ποιοῦντα ἐκεῖνον ἄγειν ὁμολογεῖν τὴν πρὸς ὑμᾶς εἰρήνην, ὥστε καὶ Μεγάρων ἁπτόμενον καὶ ἐν Εὐβοίᾳ τυραννίδα κατασκευάζοντα καὶ νῦν ἐπὶ Θρᾴκην παριόντα καὶ τὰ ἐν Πελοποννήσῳ σκευωρούμενον καὶ πάνθ', ὅσα πράττει μετὰ τῆς δυνάμεως, ποιοῦντα λύειν φημὶ τὴν εἰρήνην καὶ πολεμεῖν ὑμῖν, εἰ μὴ καὶ τοὺς τὰ μηχανήματα ἐφιστάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσάγωσιν. ἀλλ' οὐ φήσετε· ὁ γάρ, οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ,

ἐπὶ μ.] "in a small matter." 2. 1.

τὴν αὐτὴν . . δ.] "comes to the same thing." Mr. K. less correctly, "religion and justice have the same obligation." Cf. Antiph. *de Caed. Her.* § 92, καὶ μὴν τὴν ἴσην γε δύναμιν ἔχει, ὅστις τε ἂν τῇ χειρὶ ἀποκτείνῃ ἀδίκως καὶ ὅστις τῇ ψήφῳ.

φέρε] Cf. 4. 10, εἰπέ μοι.

βασιλεύς, as applied to the king of Persia, having become as it were a proper name, is generally used without the article. Madv. 8, r. 2 *b.* The *Chersonese* had not of course been declared to be theirs by any formal act, but by allowance of their occupation of it, and the recognition of it, in negotiations, &c., as a part of their ἀρχή. Cf. Aesch. 2. 72, χερρόνησον . . . . τὴν οὖσαν ὡμολογημένως Ἀθηναίων. Comp. the similar language about Amphipolis in 19. 253 and Ps. Dem. 7. 29.

ἐπιστέλλει τ.] "writes us word to that effect," "writes to tell us so."

§ 17. **φησὶ μὲν γάρ**] Cf. § 15. "he *says* of course . . ." West. reads φής . . "you (his apologist) say . ."

τοσούτῳ] Bekk. st. (Bekk. τοσούτου), as in 18. 111, τοσούτῳ γὰρ δέω λέγειν.

Μεγάρων] Grote, 11. 622.

ἐν Εὐβοίᾳ] 8. 36; infr. 57 sq. 19. 326.

ἐπὶ Θρᾴκην] Grote, l. c.

τὰ ἐν Π.] 6. 15. Grote, 11. 611 sq. "but so far from admitting that he is by this conduct . . I assert that his attempt to seize M. . . . all his movements with his army are so many infractions of the peace and acts of hostility against you." Comp. with this passage 18. 71.

εἰ μή] "unless indeed you will maintain that even those who are planting their engines . . till they actually (ἤδη) bring them up to . ." 18. 87, χαράκωμα βαλόμενος πρὸς τῇ πόλει καὶ μηχανήματ' ἐπιστήσας ἐπολιόρκει.

πράττων] "is contriving and preparing the means for my capture . . though he be not yet throwing dart or shooting arrow."

κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ. 18. *τίσιν οὖν ὑμεῖς κινδυνεύσαιτ' ἄν, εἴ τι γένοιτο; τῷ τὸν Ἑλλήσποντον ἀλλοτριωθῆναι, τῷ Μεγάρων καὶ τῆς Εὐβοίας τὸν πολεμοῦνθ' ὑμῖν γενέσθαι κύριον, τῷ Πελοποννησίους τἀκείνου φρονῆσαι. εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἱστάντα, τοῦτον εἰρήνην ἄγειν ἐγὼ φῶ πρὸς ὑμᾶς;* 19. *πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἀφ' ἧς ἡμέρας ἀνεῖλε Φωκέας, ἀπὸ ταύτης ἔγωγ' αὐτὸν πολεμεῖν ὁρίζομαι. ὑμᾶς δέ, ἐὰν μὲν ἀμύνησθε ἤδη, σωφρονήσειν φημί, ἐὰν δ' ἐάσητε, οὐδὲ τοῦθ' ὅταν βούλησθε δυνήσεσθε ποιῆσαι. καὶ τοσοῦτόν γε ἀφέστηκα τῶν ἄλλων, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν συμβουλευόντων ὥστε οὐδὲ δοκεῖ μοι περὶ Χερρονήσου νῦν σκοπεῖν οὐδὲ Βυζαντίου,* 20. *ἀλλ' ἐπαμῦναι μὲν τούτοις καὶ διατηρῆσαι μή τι πάθωσι, βουλεύεσθαι μέντοι περὶ πάντων τῶν Ἑλλήνων ὡς ἐν κινδύνῳ μεγάλῳ καθεστώτων. βούλομαι δ' εἰπεῖν πρὸς ὑμᾶς ἐξ ὧν ὑπὲρ τῶν πραγμάτων οὕτω φοβοῦμαι, ἵν' εἰ μὲν ὀρθῶς λογί-*

§ 18. **τίσιν . . κ. ἄν**] Ps. Dem. 10. 3, *πᾶσι τοῖς οὖσι . . κινδυνεύσων*: Thuc. 2. 65, *μηδὲ τῇ πόλει κινδυνεύοντας*: Id. 6. 9: the dat. expressing the stake risked. "what then are the risks you would run should any thing happen (i. e. in event of a war breaking out)? The risk of the alienation of the H. (cf. 19. 180. This would make him *τῆς σιτοπομπείας Ἑλλήνων κύριος*, as he says in 18. 241); of the power at war with you becoming master of . ."

τἀκείνου φρ.] "taking his side," "siding with him." Thuc. 3. 68; 5. 84 al.

τοῦτο τὸ μ.] "such an engine as this." Cf. Mr. Shill. *de F. Leg.* § 15.

φῶ] "am I to say?" "can I allow?" Madv. 121.

§ 19. **π. γε καὶ δεῖ**] Bekk. st. from F S Υ Ω. Bekk. and Dind. *π. γε καὶ δέω*, as in Aesch. *Prom.* 1002; Dem. 5. 24. "far from it; on the contrary, from the day he destroyed . . ." The question whether it was possible for them *ἄγειν εἰρήνην* (§ 8) is thus settled.

For **δυνήσεσθε** Reiske and Cobet propose *δυνήσεσθαι*, a needless correction for the sake of symmetry. Observe the emphatic position of *ὑμᾶς*. "if you defend yourselves at once, I say you will act wisely, but if you let it pass (put it off) you will not be able to do as much as that . ." *ἐάσητε*, Bekk. st. from S; *ἀναβάλλησθε*, Bekk.

καὶ . . γε] 6. 29.

ἀφέστηκα] "dissent from."

οὐδὲ δ.] "that in my opinion you ought not to think about either the C. or B. You should send them aid indeed, and watch that they come to no harm, but *deliberate* about all Hellas . ." Cf. Grote, 11. 624. Comp. the similar language in 15. 13, *οὐ γὰρ ὑπὲρ Ῥοδίων βουλευτέον . . . μόνον, ἀλλ' ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῶν ἄλλων Ἑλλήνων.*

§ 20. **ἐξ ὧν**] "the reasons which lead me," "why." 1. 7, *ἐκ τῶν ἐγκλημάτων*: 2. 9 al.

ζομαι, μετάσχητε τῶν λογισμῶν καὶ πρόνοιάν τιν' ὑμῶν γ' αὐτῶν, εἰ μὴ καὶ τῶν ἄλλων ἄρα βούλεσθε, ποιήσησθε, ἂν δὲ ληρεῖν καὶ τετυφῶσθαι δοκῶ, μήτε νῦν μήτ' αὖθις ὡς ὑγιαίνοντί μοι προσέχητε.

21. Ὅτι μὲν δὴ μέγας ἐκ μικροῦ καὶ ταπεινοῦ τὸ κατ' ἀρχὰς Φίλιππος ηὔξηται, καὶ ἀπίστως καὶ στασιαστικῶς ἔχουσι πρὸς αὐτοὺς οἱ Ἕλληνες, καὶ ὅτι πολλῷ παραδοξότερον ἦν τοσοῦτον αὐτὸν ἐξ ἐκείνου γενέσθαι ἢ νῦν, ὅθ' οὕτω πολλὰ προείληφε, καὶ τὰ λοιπὰ ὑφ' αὑτῷ ποιήσασθαι, καὶ πάνθ' ὅσα τοιαῦτ' ἂν ἔχοιμι διεξελθεῖν, παραλείψω. 22. ἀλλ' ὁρῶ συγκεχωρηκότας ἅπαντας ἀνθρώπους, ἀφ' ὑμῶν ἀρξαμένους, αὐτῷ ὑπὲρ οὗ τὸν ἄλλον ἅπαντα χρόνον πάντες οἱ πόλεμοι γεγόνασιν οἱ Ἑλληνικοί. τί οὖν ἐστὶ τοῦτο; τὸ ποιεῖν ὅ τι βούλεται, καὶ καθ' ἕνα οὑτωσὶ περι-

εἰ μὴ . . ἄρα] "*nisi forte*," "unless perhaps . . ." Jelf, 788. 5. "however disinclined to do so for others" (Mr. K.).

τετυφῶσθαι] Harpocr. s. v., τετύφωμαι, ἀντὶ τοῦ ἐμβρόντημαι, ἔξω τῶν φρενῶν γέγονα, ἤτοι ὑπὸ τῆς βροντῆς, ἢ ἀπὸ τῶν ἐπὶ τὸν Τυφῶνα ἀναφερομένων σκηπτῶν, ἢ ἀπὸ τῶν Τυφωνικῶν καλουμενων πνευμάτων, ἃ δὴ καὶ αὐτὰ ἐξίστησιν ἀθρόως καταρραγέντα· Ἀλκαῖος "πάμπαν δὲ τυφῶς ἔκ σ' ἕλετο φρένας." Δημοσθένης ὑπὲρ Κτησιφῶντος (§ 4). 19. 219; 23. 137. "but if you think I talk nonsense and am dreaming (am besotted), you may regard me as out of my senses, and not listen to me either now or at any future time."

ὑγιαίνοντι] 8. 36. Pl. *Lys.* 205 A, οὐχ ὑγιαίνει ἀλλὰ ληρεῖ τε καὶ μαίνεται.

§ 21. **Ὅτι μὲν . . . ἀλλ'**] Cf. 3. 27.

μέγας] 1. 28.

ἐκ μ. καὶ τ.] "from a humble and mean beginning." 3. 29, ἐκ πτωχῶν: 18. 121, ἐλεύθερος ἐκ δούλου.

ἀπίστως, κ.τ.λ.] Cf. 18. 21, where this is forcibly dwelt on; also § 61 and 14. 36.

αὐτούς] 4. 10.

ἐξ ἐ.] "from that origin." Isocr. 5. 115, ῥᾷον γάρ ἐστιν ἐκ τῶν παρόντων κτήσασθαι τὴν καλλίστην (δόξαν) ἤπερ ἐξ ὧν παρέλαβες ἐπὶ τὴν νῦν παροῦσαν προελθεῖν. "that it would be now for him, after making so many acquisitions, to reduce under his power what is left—these and all other topics of the kind I might enlarge on . ."

§ 22. **ἀφ' ὑμῶν ἀρξ.**] "participium ἀρξάμενος usurpatur in multitudine aliquâ ab unâ re, tanquam a principio, definiendâ; lat. *si incipias ab* . . Ponitur autem plerumque in eo et numero et casu in quo illud ipsum quod ita definitive enuntiatum est. Vid. Heind. *ad Gorg.* 60 . . Gorg. l. c. ἔστις ὅστις 'Αθηναίων ἀπὸ σοῦ ἀρξάμενος δέξαιτ' ἄν.' Butt. *Ind. Pl. Meno;* Madv. 176 *c*, r.

ὑπὲρ οὗ] "a privilege which has been the subject of . ."

καθ' ἕνα] Cf. 4. 20.

οὑτωσί] 4. 11. In 8. 6 he had already pointed out that all this was with the object of attacking them.

thieves: put on another man's clothes.

κόπτειν καὶ λωποδυτεῖν τῶν Ἑλλήνων, καὶ καταδουλοῦσθαι τὰς πόλεις ἐπιόντα. 23. καίτοι προστάται μὲν ὑμεῖς ἑβδομήκοντα ἔτη καὶ τρία τῶν Ἑλλήνων ἐγένεσθε, προστάται δὲ τριάκοντα ἑνὸς δέοντα Λακεδαιμόνιοι· ἴσχυσαν δέ τι καὶ Θηβαῖοι τουτουσὶ τοὺς τελευταίους χρόνους μετὰ τὴν ἐν Λεύκτροις μάχην. ἀλλ' ὅμως οὔθ' ὑμῖν οὔτε Θηβαίοις οὔτε Λακεδαιμονίοις οὐδεπώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, συνεχωρήθη τοῦθ' ὑπὸ τῶν Ἑλλήνων, ποιεῖν ὅ τι βούλοισθε, οὐδὲ πολλοῦ δεῖ, 24. ἀλλὰ τοῦτο μὲν ὑμῖν, μᾶλλον δὲ τοῖς τότ' οὖσιν Ἀθηναίοις, ἐπειδή τισιν οὐ μετρίως ἐδόκουν προσφέρεσθαι, πάντες ᾤοντο δεῖν, καὶ οἱ μηδὲν ἐγκαλεῖν ἔχοντες αὐτοῖς, μετὰ τῶν ἠδικημένων πολεμεῖν, καὶ πάλιν Λακεδαιμονίοις ἄρξασι καὶ παρελθοῦσιν εἰς τὴν αὐτὴν δυναστείαν ὑμῖν, ἐπειδὴ πλεονάζειν ἐπεχείρουν καὶ πέρα τοῦ μετρίου τὰ

περικόπτειν] 8. 9, *δεινὰ δὲ ποιοῦσιν οἱ ξένοι περικόπτοντες τὰ ἐν Ἑλλησπόντῳ.*

λωποδυτεῖν] as if he were a common footpad, "plundering and robbing the Greeks one after another in the way he is doing, and of attacking . ."

§ 23. **προστάται**] implying, as Redh. rightly points out, a legitimate authority as *ἡγεμόνες*, *ἰσχύειν* one founded on power and success in war. In 3. 24 (where see the note) the Athenian Hegemony is said to have lasted forty-five years, i. e. to the beginning of the Peloponnesian War. Here the orator adds the twenty-eight years of the Peloponnesian War in order to make the contrast dwelt on in § 25 more striking.

Λακεδαιμόνιοι] from the end of the Peloponnesian War, B.C. 405, to their defeat at Naxos by Chabrias, B.C. 376.

ἴσχυσαν] note to 2. 9. "attained some degree of power in these latter times."

ποιεῖν] Schäf. says, "omisit articulum Bekker. Malim servatum; confer § 12 (*τὸ ποιεῖν*). Omnino quoties eadem in periodo *τοῦτο* explicatur per infinitivum mox sequentem, in prosâ quidem oratione vix puto infinitivum posse carere articulo." But cf. 3. 12; Madv. 165 *b.*

On **οὐδὲ π. δεῖ** Schäf. (on p. 110. 10) rightly remarks that the effect of *οὐδέ*, due to the preceding negative, is "non ut tollatur vis formulae affirmans, sed ut augeatur negans enuntiationis. Simile Eur. *Phoen.* 1600, *οὐκ ἂν προδοίην οὐδέ περ πράσσων κακῶς.*" Cf. Mr. Shill. *de F. Leg.* § 33. "far otherwise, on the contrary, when." "so far from that, when you . . appeared . . even those who had no complaint against them (1. 7, *ἐκ τῶν . . ἐγκλημάτων*) thought it their duty . ."

§ 24. **οὐ μ.**] a litotes, *οὐ* being privative: cf. 3. 1, "harshly." 18. 18, *οἱ γὰρ ηὐτυχήκεσαν ἐν Λεύκτροις οὐ μετρίως ἐχρήσαντο.*

On **καὶ πάλιν** after *πρῶτον μέν* cf. Herm. *Vig.* p. 702. "again, as soon as the L. when they became masters . ."

ἄρξασι] an ingressive aorist, as *ἴσχυσαν* above.

παρελθοῦσιν] "came into," "succeeded to." Thuc. 1. 89, *ἦλθον ἐπὶ τὰ πράγματα.*

καθεστηκότα ἐκίνουν, πάντες εἰς πόλεμον κατέστησαν, καὶ οἱ μηδὲν ἐγκαλοῦντες αὐτοῖς. 25. καὶ τί δεῖ τοὺς ἄλλους λέγειν; ἀλλ' ἡμεῖς αὐτοὶ καὶ Λακεδαιμόνιοι, οὐδὲν ἂν εἰπεῖν ἔχοντες ἐξ ἀρχῆς ὅ τι ἠδικούμεθ' ὑπ' ἀλλήλων, ὅμως ὑπὲρ ὧν τοὺς ἄλλους ἀδικουμένους ἑωρῶμεν, πολεμεῖν ᾠόμεθα δεῖν. καίτοι πάνθ' ὅσα ἐξημάρτηται καὶ Λακεδαιμονίοις ἐν τοῖς τριάκοντ' ἐκείνοις ἔτεσι καὶ τοῖς ἡμετέροις προγόνοις ἐν τοῖς ἑβδομήκοντα, ἐλάττονά ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν Φίλιππος ἐν τρισὶ καὶ δέκα οὐχ ὅλοις ἔτεσιν οἷς ἐπιπολάζει ἠδίκηκε τοὺς Ἕλληνας, μᾶλλον δὲ οὐδὲ πέμπτον μέρος τούτων ἐκεῖνα. 26. Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ, ἃς ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν ὥστε μηδ' εἰ πώποτ' ᾠκήθησαν προσελθόντ' εἶναι ῥᾴδιον εἰπεῖν· καὶ τὸ Φωκέων ἔθνος τοσοῦ-

ἐκίνουν] a technical word in this case: "began to change the established order of things in an arbitrary manner . ." *πέρα τοῦ μ.* = *οὐ μετρίως* above. The policy of the L. is concisely given by Thuc. 1. 19. Cf. Thuc. 1. 76 in.

§ 25. **καὶ τί δεῖ . . ἀλλ'**] a common form of "transitio:" infr. § 59; 23. 114, *καὶ τί δεῖ Φίλιππον λέγειν ἤ τιν' ἄλλον, ἀλλ' . .*" Isocr. 6. 104, *καὶ τί δεῖ τὰ πόρρω λέγειν; ἀλλὰ . .*" "but what need to speak of the rest? We ourselves and the L. . ."

ἂν . . . ἔχοντες] i. e. *ἂν εἴχομεν.* 3. 8; Madv. 184 *a.* "though we could not at the outset specify any thing in which . ."

ὑπὲρ ὧν] i. e. *ἐκείνων ἅ.* "thought it our duty to go to war to redress the wrongs . ." Cf. 18. 96.

ἐξημάρτηται)(*ἠδίκηκε*—the faults of themselves and the Spartans)(the wrongs done by Philip.

ἐν τρισὶ . . οἷς] Cf. note on § 2, *παρ' ἕν.*

οὐχ ὅλοις] As this speech was delivered in the summer of B.C. 341, the thirteen incomplete years, reckoning inclusively, will carry us back to the taking of Methone (B.C. 353), referred to in the next section.

ἐπιπολάζει] "invidiose et cum contemptu dictum" (Schäf.). Not necessarily so: Isocr. 8. 107, *ὥσθ' ἡμᾶς* (the Athenians) *οὐ πολλοῖς ἔτεσιν ὕστερον ἐπιπολάσαι καὶ κυρίους γενέσθαι τῆς ἐκείνων* (the Spartans) *σωτηρίας*: and 5. 61, *τὰς μὲν ἀτιμωθήσεσθαι, τὰς δ' ἐπιπολάσειν τῶν Ἑλληνίδων πόλεων.* "he has been in the ascendant," "has been uppermost."

§ 26. **ἐπὶ Θ.**] "on the T. coast," a term well known to the readers of Thucydides as applied to the coast from Thessaly to the Hellespont. See Arn. on Thuc. 1. 57; Mure, 5, p. 32.

προσελθόντ'] "Olynthus . . . I pass over, all which he has so cruelly destroyed, that on visiting the spot it is not easy to say whether . ." Appian, *Bell. Civ.* 4. 102, says, *Φίλιππος ὁ Ἀμύντου τούς τ' ἄλλους καὶ Χαλκιδέας ἀνέστησεν, ὡς μηδὲν ἔτι πλὴν οἰκόπεδα μόνον ἱερῶν ὁρᾶσθαι.*

καὶ τὸ Φ.] "also of the P., so great a nation exterminated, I say nothing. But . ."

σταδιον = 606 ... about a furlong.

τοῦτο δ' ἐστὶν ὃ τῶν ἀναλισκομένων χρημάτων πάντων Φίλιππος ὠνεῖται, αὐτὸς μὲν πολεμεῖν ὑμῖν, ὑφ' ὑμῶν δὲ μὴ πολεμεῖσθαι.

10. *Καὶ μὴν εἰ μέχρι τούτου περιμενοῦμεν, ἕως ἂν ἡμῖν ὁμολογήσῃ πολεμεῖν, πάντων ἐσμὲν εὐηθέστατοι· οὐδὲ γὰρ ἂν ἐπὶ τὴν Ἀττικὴν αὐτὴν βαδίζῃ καὶ τὸν Πειραιᾶ, τοῦτ' ἐρεῖ, εἴπερ οἷς πρὸς τοὺς ἄλλους πεποίηκε δεῖ τεκμαίρεσθαι.* 11. *τοῦτο μὲν γὰρ Ὀλυνθίοις τετταράκοντ' ἀπέχων τῆς πόλεως στάδια εἶπεν ὅτι δεῖ δυοῖν θάτερον, ἢ 'κείνους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν ἢ αὐτὸν ἐν Μακεδονίᾳ, πάντα τὸν ἄλλον χρόνον, εἴ τις αὐτὸν αἰτιάσαιτό τι τοιοῦτον, ἀγανακτῶν καὶ πρέσβεις πέμπων τοὺς ἀπολογησομένους· τοῦτο δ' εἰς Φωκέας ὡς πρὸς συμμάχους ἐπορεύετο, καὶ πρέσβεις Φωκέων ἦσαν οἳ παρηκολούθουν αὐτῷ πορευομένῳ, καὶ παρ' ἡμῖν ἤριζον πολλοὶ Θηβαίοις οὐ λυσιτελήσειν τὴν ἐκείνου πάροδον.* 12. *καὶ μὴν καὶ Φερὰς πρῴην ὡς φίλος καὶ σύμμαχος εἰς Θετταλίαν ἐλθὼν ἔχει καταλαβών, καὶ τὰ τελευταῖα τοῖς*

τῶν . . χρ.] 3. 22. "with all the treasure he is lavishing."

αὐτὸς μέν, κ.τ.λ.] explanatory of *τοῦτο*. infr. 23; 3. 7. On the nom. *αὐτός* with the inf., 4. 7.

§ 10. **εἰ . . περιμενοῦμεν . . ἐσμέν**] cf. 1. 19. "if we mean to wait . . we are the most simple of men."

βαδίζῃ] 6. 36. "is in full march . ." 1. 12 and 25.

§ 11. **τοῦτο μέν**] "for example." **Ὀλ.**] cf. 8. 58, *οὐδ'* (did he admit that he was at war) *Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἐν αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων.*

δεῖ δ. θ.] "there was no choice, but they must . . ." Cf. Mr. Shill. *de F. Leg.* § 166. 18. 139, *καίτοι δυοῖν αὐτῷ ἀνάγκη θάτερον ἢ μηδέν* "he has only one alternative." The force of *μή* is extended to *ἐν Μακεδονίᾳ*. Cobet (*N. Lect.* p. 661) inserts *μή* after *αὐτόν*.

ἢ 'κείνους] Bekk. st. *ἢ κείνους*. Cf. 4. 4.

π. τὸν ἄλλον χ.] "though before that whenever any one accused him of . . he was indignant . . ." *ἀγανακτῶν* and *πέμπων* represent the imperfects required after the opt. of indefinite frequency—*εἴ τις . . αἰτιάσαιτο*; cf. 6. 20. *τὸν ἄλλον χρ.* is sometimes, but rarely, used also of future time. Dem. 22. 3; Lyc. § 79.

ὡς πρός] "again he marched into Phocis (6. 36) as if to allies (he pretended to regard them in that light till he had them at his mercy), and there were . . . . who accompanied him on his march." Grote, 11. 587.

οὐ λ.] his passage of the Straits "would not benefit:" a meiosis. 3. 1; cf. 6. 30.

§ 12.] **ἔχει** has here its full force. He not only seized Pherae, but at that time held it with his troops. Madv. 180 *d*. On the subject here mentioned see Thirl. 6, p. 13. Ps. Dem. 7. 32, *Φεραίων μὲν ἀφῄρηται τὴν πόλιν καὶ φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν, ἵνα δὴ αὐτόνομοι ὦσι.* 8. 59.

τὰ τελ.] 2. 7.

ταλαιπώροις Ὠρείταις τουτοισὶ ἐπισκεψομένους ἔφη τοὺς στρατιώτας πεπομφέναι κατ' εὔνοιαν· πυνθάνεσθαι γὰρ αὐτοὺς ὡς νοσοῦσι καὶ στασιάζουσι, συμμάχων δ' εἶναι καὶ φίλων ἀληθινῶν ἐν τοῖς τοιούτοις καιροῖς παρεῖναι. 13. εἶτ' οἴεσθ' αὐτόν, οἳ ἐποίησαν μὲν οὐδὲν ἂν κακόν, μὴ παθεῖν δ' ἐφυλάξαντ' ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δ' ἐκ προρρήσεως πολεμήσειν, καὶ ταῦθ' ἕως ἂν ἑκόντες ἐξαπατᾶσθε; οὐκ ἔστι ταῦτα· 14. καὶ γὰρ ἂν ἀβελτερώτατος εἴη πάντων ἀνθρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν μηδὲν ἐγκαλούντων αὐτῷ, ἀλλ' ὑμῶν αὐτῶν τινὰς αἰτιωμένων, ἐκεῖνος ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν ὑμῶν καὶ φιλονεικίαν ἐφ' ἑαυτὸν προείποι τρέπεσθαι, καὶ τῶν παρ' ἑαυτοῦ μισθοφορούντων τοὺς λόγους ἀφέλοιτο, οἷς ἀναβάλλουσιν ὑμᾶς, λέγοντες ὡς ἐκεῖνός γε οὐ πολεμεῖ τῇ πόλει.

15. Ἀλλ' ἔστιν, ὦ πρὸς τοῦ Διός, ὅστις εὖ φρονῶν ἐκ τῶν

τοῖς . . Ὠ. depends, I think, on ἔφη: "and lastly he told the wretched people of Oreus . . out of good will to visit them . ." infr. §§ 27, 33. On the *anaphorical* use of the demonstrative *τουτοισί* see Mr. Shill. *de F. Leg.* § 213; Cobet, *N. Lect.* p. 629. Dem. 23. 111, *ἴστε δήπου Φίλιππον . . τουτονὶ τὸν Μακεδόνα*, and passim.

ἐπισκεψομένους] to pay them a sick visit. 54. 12, *λέγε τὴν τῶν ἰατρῶν μαρτυρίαν καὶ τὴν τῶν ἐπισκοπούντων*: 59. 56, *ἐβάδιζον . . . γὰρ πρὸς αὐτὸν ὡς ἠσθένει . . . τὰ πρόσφορα τῇ νόσῳ φέρουσαι καὶ ἐπισκοπούμεναι.*

αὐτούς] Madv. 191.

In **νοσοῦσι καὶ σ.** the particular kind of illness is added co-ordinately with *καί*, as in 6. 1, "suffering from internal disorders." Pl. *Rep.* 5. 470 C, *νοσεῖν δ' ἐν τῷ τοιούτῳ τὴν Ἑλλάδα καὶ στασιάζειν, καὶ στάσιν τὴν τοιαύτην ἔχθραν κλητέον*: ib. B, *ἐπὶ γὰρ τῇ τοῦ οἰκείου ἔχθρᾳ στάσις κέκληται, ἐπὶ δὲ τῇ τῶν ἀλλοτρίων πόλεμος.* Cf. 18. 45, *αἱ δὲ πόλεις ἐνόσουν*: Soph. *El.* 1070 al.

§ 13. **εἶτ'**] 1. 24.

οἳ . . μὲν . . δ'] The stress of the sentence is upon the clause introduced by *δέ*: cf. 2. 24. "do you then think that when he chose to deceive, rather than by giving them warning overpower by force, those who would have done him no harm (i. e. had he given them warning and formally declared war against them), though they might perhaps have taken measures to escape suffering it, he will make a formal declaration of war against *you*, and that so long as . . Impossible!" Cf. note to 6. 15, *τοὺς μὲν ὄντας . . .*

ἐκ πρ.] "ex edicto." Livy 1. 27.

§ 14. **τινάς**] "some of yourselves," i. e. of course those who saw through his designs and warned them against him.

ἀναβάλλουσιν] "put you off," "amuse you." Cf. note to 4. 14.

ἐκεῖνός γε] however it may be with others, "he at any rate."

§ 15. **ὦ πρὸς τοῦ Δ.**] An exclamation of impatience. 24. 157,

τρόπον ἄν τις ὑπέλαβε τοῦθ' ὥσπερ ἂν εἰ υἱὸς ἐν οὐσίᾳ πολλῇ γεγονὼς γνήσιος διῴκει τι μὴ καλῶς μηδ' ὀρθῶς, κατ' αὐτὸ μὲν τοῦτο ἄξιον μέμψεως εἶναι καὶ κατηγορίας, ὡς δ' οὐ προσήκων ἢ ὡς οὐ κληρονόμος τούτων ὧν ταῦτα ἐποίει, οὐκ ἐνεῖναι λέγειν. 31. εἰ δέ γε δοῦλος ἢ ὑποβολιμαῖος τὰ μὴ προσήκοντα ἀπώλλυε καὶ ἐλυμαίνετο, Ἡράκλεις ὅσῳ μᾶλλον δεινὸν καὶ ὀργῆς ἄξιον πάντες ἂν ἔφησαν εἶναι. ἀλλ' οὐχ ὑπὲρ Φιλίππου καὶ ὧν ἐκεῖνος πράττει νῦν, οὐχ οὕτως ἔχουσιν, οὐ μόνον οὐχ Ἕλληνος ὄντος οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν, ἀλλ' οὐδὲ βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν, ἀλλ' ὀλέθρου Μακεδόνος, ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον οὐδὲν ἦν πρότερον.

32. Καίτοι τί τῆς ἐσχάτης ὕβρεως ἀπολείπει; οὐ πρὸς τῷ πόλεις ἀνῃρηκέναι τίθησι μὲν τὰ Πύθια, τὸν κοινὸν τῶν

ὥσπερ ἂν] i.e. *ὑπέλαβεν*. "and it would have been regarded in the same light as if a legitimate son born to a large estate . . . that on that particular ground . . but that it could not be said he had no title or was not heir to the property he was thus dealing with." Cob. (*Nov. L.* p. 228) without reason proposes to expunge *ἐν οὐσίᾳ πολλῇ*, and also *γνήσιος*, which is required by the preceding *γνησίων*, and *ὑποβολιμαῖος* which follows.

τούτων] referring to the collective *τι*. 2. 18.

§ 31. **δέ γε**] "on the other hand," "on the contrary."

ὑποβ.] cf. 21. 149, where Demosthenes accuses Meidias of being such.

τὰ μὴ πρ.] "a property to which he had no right." Madv. 207. Cf. Thuc. 2. 61, where *τῆς ὑπαρχούσης δόξης*, "the reputation which is a man's own," is opposed to *τῆς μὴ προσηκούσης*, "the assumption of one to which he had no right or title."

Ἡράκλεις] "good heavens!"

οὐχ . . . οὐχ] Comp. 21. 165, *οὐ μὴν Νικήρατός γε οὕτως . . . οὐδ' Εὐκτήμων . . οὐχ οὕτως*: Aesch. 3. 194, *ἀλλ' οὐχὶ ὁ Κέφαλος . . οὐχ οὕτως*.

ὧν] i. e. *ὑπὲρ τούτων ἅ*. Isocr. 5. 83, *περὶ μὲν οὖν τῶν ἐμῶν καὶ ὧν σοι πρακτέον ἐστί*. Thuc. 5. 87.

οὕτως ἔχουσιν] "feel thus, though he is not only no Hellene (not a *γνήσιος υἱός*) or in any way connected with Hellas (not even an *ὑποβολιμαῖος*), but not even a barbarian (3. 16) from a place creditable to name, but a pestilent fellow of Macedonia, a country from which . . ."

ὄλεθρος] used adjectively as in 18. 127, *ὄλεθρος γραμματεύς*. 23. 202.

σπουδαῖον] "decent," "respectable."

§ 32. **ὕβρεως**] cf. 8. 62.

ἀπολείπει] i. e. Philip: "what is wanting to make his insolence complete." Mr. K.

πόλεις] "cities of Hellas." supr. 26.

τίθησι . . . τὰ Π.] 5. 22. Two months after the surrender of the Phocians, Philip was nominated by the Amphictyonic Council President of the Pythian Games in conjunction with the Thebans and Thessalians (B.C. 346). The Athenians refused

Ἑλλήνων ἀγῶνα, κἂν αὐτὸς μὴ παρῇ, τοὺς δούλους ἀγωνοθετήσοντας πέμπει; [κύριος δὲ Πυλῶν καὶ τῶν ἐπὶ τοὺς Ἕλληνας παρόδων ἐστί, καὶ φρουραῖς καὶ ξένοις τοὺς τόπους τούτους κατέχει; ἔχει δὲ καὶ τὴν προμαντείαν τοῦ θεοῦ, παρώσας ἡμᾶς καὶ Θετταλοὺς καὶ Δωριέας καὶ τοὺς ἄλλους Ἀμφικτύονας, ἧς οὐδὲ τοῖς Ἕλλησιν ἅπασι μέτεστιν;] 33. γράφει δὲ Θετταλοῖς ὃν χρὴ τρόπον πολιτεύεσθαι; πέμπει δὲ ξένους τοὺς μὲν εἰς Πορθμόν, τὸν δῆμον ἐκβαλοῦντας τὸν Ἐρετριέων, τοὺς δ' ἐπ' Ὠρεόν, τύραννον Φιλιστίδην καταστήσοντας; ἀλλ' ὅμως ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται, καὶ τὸν αὐτὸν τρόπον ὥσπερ τὴν χάλαζαν ἔμοιγε δοκοῦσι θεωρεῖν, εὐχόμενοι μὲν μὴ καθ' ἑαυτοὺς ἕκαστοι γενέσθαι, κωλύειν δὲ οὐδεὶς ἐπιχειρῶν. 34. οὐ μόνον δ' ἐφ' οἷς ἡ Ἑλλὰς ὑβρίζεται ὑπ' αὐτοῦ, οὐδεὶς

to send Theori on the occasion (19. 128). Though Dem. here resents this assumption on the part of Philip, he had advised the recognition of his Amphictyonic dignity. Grote, 11. 602.

τῶν Ἑ.] to whom he did not belong.

δούλους] "Intelligendi Macedonum proceres, quos orator *δημοκρατικῶς* lasciviens dicit *δούλους*" (Schäf.). They might, according to Greek views, be called so, because Philip was an absolute king. 19. 69, *καὶ ὁ μὲν Ἀντίπατρος καὶ ὁ Παρμενίων δεσπότῃ διακονοῦντες*. Cf. Eur. *Hel.* 276, *τὰ βαρβάρων γὰρ δοῦλα πάντα πλὴν ἑνός*. The passage *κύριος δὲ . . . μέτεστιν*, omitted by S, pr. m., is enclosed by Bekker in brackets. Before *κύριος* we must supply *οὐ* from the preceding sentence.

τῶν ἐπί, κ.τ.λ.] "the passes into H." 6. 35, *τῆς ἐπὶ τὴν Ἀττικὴν ὁδοῦ*. He secured the pass by taking possession of Alponus, Thronium, and Nicaea, *τὰ τῶν παρόδων τῶν εἰς Πύλας χωρία κύρια*, Aesch. 2. 132; Grote, 11. 591, 601. The privilege of *προμαντεία* was transferred to Philip by the Amphictyons. This is made the subject of complaint in 19. 327, *ἡ δὲ πόλις τὴν προμαντείαν ἀφῄρηται*. Cf. *Gr. and R. Ant.* s. v. Oraculum.

§ 33. **γράφει δέ**] sc. *οὐ* from § 32.

Πορθμόν] Grote, 11. 622.

ἐπ' Ὠρεόν] Grote, 11. 621. "to set up P. as despot." Cf. § 57.

ὁρῶντες] Madv. 177 *a*.

τὸν αὐτὸν τ. ὥσπερ] supr. § 30. See on 1. 15; 4. 21. "and they seem to me to view them as people do a hail-storm, each hoping that it may not fall on themselves, but . ." Comp. 18. 45.

γενέσθαι] the regular word in speaking of natural phenomena of this kind. Thuc. 2. 4; 2. 77 al.

οὐδείς] cf. 1. 19. The passage is obviously imitated by Sall. *Frag. Hist.* lib. 1, "Qui videmini intenta mala, quasi fulmen, optare se quisque ne attingant, sed prohibere ne conari quidem."

§ 34. **ἐφ' οἷς**] 23. 106, 190, *τὸ δ' ἐφ' οἷς . . . πρᾶγμα ἀλυσιτελὲς . . . πόλει κατεσκευάζετο ἐναντιοῦσθαι*. "for the outrages he is doing to the H., but even on account of the wrongs each are personally suffering."

ἀμύνεται, ἀλλ' οὐδ' ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἀδικεῖται· τοῦτο γὰρ ἤδη τοὔσχατον ἐστίν. οὐ Κορινθίων ἐπ' Ἀμβρακίαν ἐλήλυθε καὶ Λευκάδα; οὐκ Ἀχαιῶν Ναύπακτον ὀμώμοκεν Αἰτωλοῖς παραδώσειν; οὐχὶ Θηβαίων Ἐχῖνον ἀφήρηται; 35. *καὶ νῦν ἐπὶ Βυζαντίους πορεύεται συμμάχους ὄντας; οὐχ ἡμῶν, ἐῶ τἄλλα, ἀλλὰ Χερρονήσου τὴν μεγίστην ἔχει πόλιν Καρδίαν; ταῦτα τοίνυν πάσχοντες ἅπαντες μέλλομεν καὶ μαλακιζόμεθα καὶ πρὸς τοὺς πλησίον βλέπομεν, ἀπιστοῦντες ἀλλήλοις, οὐ τῷ πάντας ἡμᾶς ἀδικοῦντι. καίτοι τὸν ἅπασιν ἀσελγῶς οὕτω χρώμενον τί οἴεσθε, ἐπειδὰν καθ' ἕνα ἡμῶν ἑκάστου κύριος γένηται, τί ποιήσειν;*

36. *Τί οὖν αἴτιον τουτωνί; οὐ γὰρ ἄνευ λόγου καὶ δικαίας αἰτίας οὔτε τόθ' οὕτως εἶχον ἑτοίμως πρὸς ἐλευθερίαν οἱ Ἕλληνες, οὔτε νῦν πρὸς τὸ δουλεύειν. ἦν τι τότ', ἦν, ὦ*

ὑπέρ] Isocr. 5. 125 (quoted by Redh.), *ἡμεῖς δ' οὐδ' ὑπὲρ ὧν κακῶς ἐπάθομεν ἀμύνεσθαι τολμῶμεν αὐτούς.* In the following sentence the genitives are put at the head of their sentences as illustrations of the assertion *αὐτὸς ἕκαστος ἀδικεῖται.* "has he not wronged the C. by marching against A. . . . . the Achaeans by swearing . . . . the Thebans by taking from them E.?" In this translation the sense is expressed rather than the strict construction, for grammatically *Κορινθίων* is of course a gen. of possession. His attack upon *Ambracia* is mentioned above, § 27.

Ἐχῖνον] *Ἐχῖνος δὲ πόλις, Θηβαίων μὲν ἄποικος, πλησίον δὲ Θετταλίας, ἀπὸ Ἐχίνου ἑνὸς τῶν Σπαρτῶν.* Schol.

§ 35. **Βυζαντίους**] supr. 17 and 27. Grote, 11. 627.

συμμάχους has been wrongly translated by Reiske and others "our allies." Cf. 18. 87, *παρελθὼν ἐπὶ Θρᾴκης Βυζαντίους συμμάχους ὄντας αὐτῷ.*

οὐχ ἡμῶν] "of ours, I omit the rest, but does he not . ."

Καρδίαν] Grote, 11. 623.

For **μαλακιζόμεθα** Dind. has *μαλκίομεν* (which Schäfer also held to be the true reading), from *μαλκίω*, formed like *μηνίω*. Harpocr. s. v. *μαλακίζομεν*, i. e. *μαλκίομεν*, says, *Δημοσθένης θ' Φιλιππικῶν φησὶ "μένομεν καὶ μαλακιζόμεθα." ἐν ἐνίοις γράφεται μαλκίομεν, ὅπερ δηλοῖ τὸν ὄρρον φρίττειν. Αἰσχύλος Ἑλλαδίῳ "κεκμῆτι μαλκίων ποδί."* Cf. L. and S. s. v. *μαλκίω*. Redh. quotes Sall. Catil. c. 52. 28: "Sed inertiâ et mollitie animi alius alium exspectantes cunctamini."

τί οἴεσθε . . τί ποιήσειν] as 18. 240, *τί ἂν οἴεσθε . . τί ποιεῖν ἂν ἢ λέγειν*: Dind. omits the second *τί* here with F. "yet what do you think he who is treating all so insolently (4. 9)—what do you think he will do, when he becomes master of each of us separately?"

καθ' ἕνα . . ἑκάστου] cf. 2. 24.

§ 36. **Τί . . αἴτιον**] 3. 30.

εἶχον ἑτ. πρός] "were so eager for."

ἦν . . ἦν] 1. 19.

ἄνδρες Ἀθηναῖοι, ἐν ταῖς τῶν πολλῶν διανοίαις ὃ νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ Περσῶν ἐκράτησε πλούτου καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα καὶ οὔτε ναυμαχίας οὔτε πεζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο, νῦν δ' ἀπολωλὸς ἅπαντα λελύμανται καὶ ἄνω καὶ κάτω πεποίηκε τὰ τῶν Ἑλλήνων πράγματα. 37. τί οὖν ἦν τοῦτο; τοὺς παρὰ τῶν ἄρχειν βουλομένων ἢ διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν, καὶ χαλεπώτατον ἦν τὸ δωροδοκοῦντα ἐξελεγχθῆναι, καὶ τιμωρίᾳ μεγίστῃ τοῦτον ἐκόλαζον. 38. τὸν οὖν καιρὸν ἑκάστου τῶν πραγμάτων, ὃν ἡ τύχη πολλάκις παρασκευάζει, οὐκ ἦν πρίασθαι παρὰ τῶν λεγόντων οὐδὲ τῶν στρατηγούντων, οὐδὲ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν, οὐδὲ τὴν πρὸς τοὺς τυράννους καὶ τοὺς βαρβάρους ἀπιστίαν, οὐδ' ὅλως τοιοῦτον οὐδέν. 39. νῦν δ' ἅπανθ' ὥσπερ ἐξ ἀγορᾶς ἐκπέπραται ταῦτα, ἀντεισῆκται δὲ ἀντὶ τού-

ἦγε] Cobet adopts Schäfer's conj. διῆγε, "faciebat ut G. libera maneret." There seems no reason for any change. "led H. in the possession (in a state) of freedom," "kept H. free."

μάχης . . . ἡττᾶτο] "which triumphed over the wealth of P. . . and let itself be overcome by"—"quailed under no battle:" it was something all the gold of Persia could not corrupt or danger intimidate into submission. Whiston does injustice to a good scholar when he quotes Schäfer as saying "notanda locutio pro ἐν μάχῃ." What he says is "ἡττᾶσθαι μάχης notanda locutio." The construction is the same as in Thuc. 4. 37, ἡσσηθεῖεν τοῦ παρόντος δεινοῦ. μάχῃ would have been altogether inappropriate.

νῦν δ'] "but which now by its loss has ruined every thing, and turned the affairs of H. upside down." The Zurich Editors, Fr., West., and Redh. read πάντα τὰ πράγματα with S. The sense is the same, τὰ πρ. referring to τὴν Ἑλλάδα.

ἄνω κ. κάτω] 2. 16. On the participle after ἐξελέγχονται, 4. 37. "and it was a most grievous thing for a man to be convicted of taking a bribe," as opposed to the ζῆλος, κ.τ.λ. below.

§ 37. **τοῦτον**] "such person." After ἡ τύχη Bekk. had καὶ τοῖς ἀμελοῦσι κατὰ τῶν προσεχόντων καὶ τοῖς μηδὲν ἐθέλουσι ποιεῖν κατὰ τῶν πάντα ἃ προσήκει πραττόντων. He now omits the words, with S pr. m. Dind. retains them.

§ 38. **παρασκευάζει**] 2. 2. "therefore the favourable moments for enterprises which F. often provides could not as they occurred (ἑκάστου) be bought from . ." as could be done in their own times. 19. 6; Aesch. 3. 94, καιροὶ πέπρανται τηλικοῦτοι. This was one of the standing charges against public men at Athens, which Dem. himself did not escape: cf. Aesch. 3. 92. al.

τὴν πρὸς . . ἀπιστίαν] 6. 24. On τὴν πρὸς . . note to 6. 3, τὴν πρὸς ὑμᾶς . .

§ 39. **ἐκπέπραται**] "but now all these principles have been sold off as if in open market (so that there are none now to be had), and those

των ὑφ' ὧν ἀπόλωλε καὶ νενόσηκεν ἡ Ἑλλάς. ταῦτα δ' ἐστὶ τί; ζῆλος, εἴ τις εἴληφέ τι, γέλως, ἂν ὁμολογῇ, μῖσος, ἂν τούτοις τις ἐπιτιμᾷ, τἄλλα πάνθ' ὅσα ἐκ τοῦ δωροδοκεῖν ἤρτηται. 40. ἐπεὶ τριήρεις γε καὶ σωμάτων πλῆθος καὶ χρημάτων καὶ τῆς ἄλλης κατασκευῆς ἀφθονία, καὶ τἄλλα οἷς ἄν τις ἰσχύειν τὰς πόλεις κρίνοι, νῦν ἅπασι καὶ πλείω καὶ μείζω ἐστὶ τῶν τότε πολλῷ. ἀλλ' ἅπαντα ταῦτ' ἄχρηστα ἄπρακτα ἀνόνητα ὑπὸ τῶν πωλούντων γίγνεται.

41. Ὅτι δ' οὕτω ταῦτ' ἔχει, τὰ μὲν νῦν ὁρᾶτε δήπου καὶ οὐδὲν ἐμοῦ προσδεῖσθε μάρτυρος· τὰ δ' ἐν τοῖς ἄνωθεν χρόνοις ὅτι τἀναντία εἶχεν, ἐγὼ δηλώσω, οὐ λόγους ἐμαυτοῦ λέγων, ἀλλὰ γράμματα τῶν προγόνων τῶν ὑμετέρων, ἃ 'κεῖνοι κατέθεντο εἰς στήλην χαλκῆν γράψαντες εἰς ἀκρόπολιν. 42. Ἄρθμιος, φησίν, ὁ Πυθώνακτος Ζελείτης

imported in exchange for them by which Hellas has been ruined and made sick," "has been made sick unto death," by being brought into that state of *νόσος* so graphically described in 18. 45: cf. 6. 1.

ταῦτα . . τί] § 16.

ζῆλος] comp. what is said about Olynthus in 19. 265, and ib. 259.

τούτοις] neuter, "such doings."

ἤρτηται] "all the other concomitants, in short, of corruption." Observe the omission of *καί* before expressions, such as that here, by which enumerations are closed. 8. 25; Ps. Dem. 10. 10; 21. 136 al.

§ 40. **ἐπεὶ . . γε**] "Nam ni omnia a corruptelâ penderent, melius de nobis ageretur, quum . . ." (Fr.). cf. supr. § 29.

σωμάτων] "men." 18. 20, *οὔτε χρήμασιν οὔτε σώμασιν.*

κατασκευῆς] "materials," "munitions of war of all kinds," as arms, &c., the sense being determined by the context. 19. 89, *κατασκευαῖς ὅπλων καὶ χώρας καὶ προσόδου.* Thuc. 2. 14, and 97.

οἷς . . κρίνοι] 2. 15. "are generally considered to constitute the strength of states."

τῶν τότε] i. e. *ἢ τοῖς τότε*: 3. 32. Note the emphatic position of *πολλῷ.*

ὑπὸ . . γίγνεται] "are rendered . . by"—all these material advantages are rendered useless by the venality of *οἱ λέγοντες καὶ οἱ στρατηγοῦντες* § 38.

§ 41. **Ὅτι**] "for proof that." Madv. 192 *b*, r. Cobet, *N. Lect.* p. 367.

προσδεῖσθε] "need the addition of my testimony."

ἄνωθεν] 2. 10, *κάτωθεν.* "but that it was quite otherwise in former times . ." *δεικνύων*, which he read after *ὑμετέρων*, Bekk. now omits with S pr. m. Dind. retains it. "not by words of my own, but by adducing an inscription." **ἀκεῖνοι** Dind.; **ἃ** *κεῖνοι* Bekk. and West. from S; cet. *ἐκεῖνοι.* Cf. 4. 4.

κατέθεντο εἰς] Madv. 79. Thuc. 4. 57, *καταθέσθαι ἐς τὰς νήσους.* On the absence of the art. with **ἀκρόπολιν**, Madv. 8, r. 2 *d.*

εἰς στήλην] supr. 27.

§ 42. **φησίν**] sc. *τὰ γράμματα.* Aesch. 3. 110, *γέγραπται γὰρ οὕτως*

ἄτιμος καὶ πολέμιος τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸς καὶ γένος. εἶθ' ἡ αἰτία γέγραπται δι' ἣν ταῦτ' ἐγένετο· ὅτι τὸν χρυσὸν τὸν ἐκ Μήδων εἰς Πελοπόννησον ἤγαγεν. ταῦτ' ἐστὶ τὰ γράμματα. 43. λογίζεσθε δὴ πρὸς θεῶν, τίς ἦν ποθ' ἡ διάνοια τῶν Ἀθηναίων τῶν τότε ταῦτα ποιούντων, ἢ τί τὸ ἀξίωμα. ἐκεῖνοι Ζελείτην τινὰ Ἄρθμιον δοῦλον βασιλέως (ἡ γὰρ Ζέλειά ἐστι τῆς Ἀσίας), ὅτι τῷ δεσπότῃ διακονῶν χρυσίον ἤγαγεν εἰς Πελοπόννησον, οὐκ Ἀθήναζε, ἐχθρὸν αὐτῶν ἀνέγραψαν καὶ τῶν συμμάχων αὐτὸν καὶ γένος, καὶ ἀτίμους. 44. τοῦτο δ' ἐστὶν οὐχ ἣν ἄν τις οὑτωσὶ φήσειεν ἀτιμίαν· τί γὰρ τῷ Ζελείτῃ, τῶν Ἀθηναίων κοινῶν εἰ μὴ μεθέξειν ἔμελλεν; ἀλλ' ἐν τοῖς φονικοῖς γέγραπται νόμοις, ὑπὲρ ὧν ἂν μὴ διδῷ

ἐν τῇ ἀρᾷ Εἴ τις τάδε, φησί, παραβαίνῃ . . ἐναγής, φησίν, ἔστω . ."

ἄτιμος] "an outlaw."

αὐτὸς καὶ γ.] "himself and his family." The young student should observe that τε is in such cases commonly omitted after αὐτός. Thuc. 2. 31, Ἀθηναῖοι πανδημεί, αὐτοὶ καὶ οἱ μέτοικοι: id. 4. 90 al. In 19. 271, where this inscription was read by the clerk of the court, Dem. says, ἀκούετε . . . τῶν γραμμάτων λεγόντων Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζηλείτην ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τοῦ Ἀ. καὶ τῶν συμμάχων καὶ γένος πᾶν.

ἡ αἰτία] According to Deinarchus (2, § 25) this was the only case in which the reason was assigned for the sentence of outlawry.

τὸν ἐκ Μ.] 1. 15.

§ 43. **ἡ δ. . . . ἀξίωμα**] "what must have been the sentiment (infr. 53) . . . or rather what the dignity . . ." On ἀξίωμα and the difference between it and ἀξίωσις, Grote, 6. 233 note. Cf. *Eth. Nic.* 4, c. 7.

εἰς Π. οὐκ Ἀ.] So Deinarchus, quoted above. Dem. (19. 271) speaks more generally (εἰς τοὺς Ἕλληνας), and so Aeschines (3. 258), adding that though he was their proxenus they had nearly put him to death, and ἐξεκήρυξαν ἐκ τῆς πόλεως καὶ ἐξ ἁπάσης ἧς Ἀθηναῖοι ἄρχουσιν.

ἀνέγραψαν] "they wrote him up an enemy," "they recorded him as . . ." Before Bekk.'s edition εἶναι was read after ἀτίμους. Comp. 23. 200, οὐκ ἐψηφίσαντο ἀγώγιμον, where after ἀγώγιμον Bekk. had εἶναι in brackets, but now omits the word altogether.

§ 44. On **οὑτωσί** see 1. 20. "not the outlawry ordinarily understood by the name."

τί γάρ] Pl. *Prot.* 310 D, τί οὖν σοὶ τοῦτο; "for what did a man of Z. care for being condemned to exclusion from the rights of an *Athenian* citizen?" On the position of τῶν Ἀθ. κ. cf. 4. 29. The rights of an Athenian citizen are summed up by Lyc. *c. Leocr.* 142, ἀλλ' ἥκει ἱερῶν θυσιῶν ἀγορᾶς νόμων πολιτείας μεθέξων. Cf. Dem. 23. 65. Before ἀλλ' Bekk. had the words ἀλλ' οὐ τοῦτο λέγει. He now omits them with S pr. m. The sense of them is conveyed by ἀλλ'. Dind. retains them.

ἐν τοῖς φ. . . . ν.] cf. 23. 51, Ὁ μὲν νόμος ἐστὶν οὗτος Δράκοντος . . καὶ οἱ ἄλλοι δέ, ὅσους ἐκ τῶν φονικῶν νόμων παρεγραψάμην, where Weber

φόνου δικάσασθαι, "καὶ ἄτιμός" φησι "τεθνάτω." τοῦτο δὴ λέγει, καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι. 45. οὐκοῦν ἐνόμιζον ἐκεῖνοι τῆς πάντων τῶν Ἑλλήνων σωτηρίας αὐτοῖς ἐπιμελητέον εἶναι· οὐ γὰρ ἂν αὐτοῖς ἔμελεν εἴ τις ἐν Πελοποννήσῳ τινὰς ὠνεῖται καὶ διαφθείρει, μὴ τοῦθ' ὑπολαμβάνουσιν· ἐκόλαζον δ' οὕτω καὶ ἐτιμωροῦντο οὓς αἴσθοιντο ὥστε καὶ στηλίτας ποιεῖν. ἐκ δὲ τούτων εἰκότως τὰ τῶν Ἑλλήνων ἦν τῷ βαρβάρῳ φοβερά, οὐχ ὁ βάρβαρος τοῖς Ἕλλησιν. 46. ἀλλ' οὐ νῦν· οὐ γὰρ οὕτως

quotes Plut. *Sol.* c. 17, τοὺς Δράκοντος ἀνεῖλε (Solon) πλὴν τῶν φονικῶν ἅπαντας, the φ. νόμοι being, as Thirl. (2, c. 11) remarks, "in fact customs hallowed by time and religion, and so retained, not introduced, by his predecessor."

ὑπὲρ ὧν] "in reference to those for whom he does not allow a prosecution for murder, he (the legislator) says 'let him die an outlaw.'" Harpocr. referring to this passage says, ἄτιμος. τοῦτο ἰδίως ἔταξε Δ. Φιλιππικοῖς, ἤγουν ὃν ἄν τις ἀποκτείνας οὐχ ὑπόκειται ἐπιτιμίῳ. The argument, whatever be its value, is plain: "the ἀτιμία to which Arthmius, declared an enemy of the Athenian people, was condemned, could not be an ordinary suspension of rights. What punishment would that have been to a man of Zelea? Rather he became ἄτιμος in the sense in which the word is used in the φονικοὶ νόμοι—out of the pale of all law—so that he could be slain with impunity"—whether we choose to suppose that the words of the law were ἄτιμος ἔστω καὶ νηποινὶ τεθνάτω, and that Dem., looking merely to the requirements of his argument, omitted the intervening words and joined ἄτιμος directly with τεθνάτω, or which is, I think, more probable, that ἄτιμος τεθνάτω is an interpretative equivalent for νηποινὶ τ.

λέγει] i. e. the legislator; "by this he means . ."

καθαρόν] "clear of blood-guiltiness." 19. 66; Andoc. 1, § 95, ὁ κτείνας σε καθαρὸς τὰς χεῖρας ἔσται, κατά γε τὸν Σόλωνος νόμον.

τούτων] i. e. Arthmius or any of his family.

εἶναι] "shall be." Madv. 168 *a*, 1.

§ 45. **ἐπιμ. εἶναι**] "that they were bound to watch over . ." On εἰ after ἔμελεν, Madv. 194 *c*.

ὠνεῖται καὶ δ.] "buying and (i. e. and so, cf. 1. 3) corrupting people in the P." On ὠνεῖται after ἔμελεν, Madv. 132 *b*.

μὴ τοῦθ' ὑ.] i. e. εἰ μὴ τοῦθ' ὑπελάμβανον.

ἐκόλαζον . . . καὶ ἐτ.] Heind. (Pl. *Prot.* § 40) after quoting this passage and Arist. *Eth. Nic.* 3. 5 (κολάζουσι καὶ τιμωροῦνται τοὺς δρῶντας μοχθηρά), says, "in quibus τιμωρεῖσθαι ad poenam referre puto legibus debitam, κολάζειν ad castigationem emendationemque peccantium." Arist. *Rhet.* 1. 10. 17. Cf. Don. *Gr. Gr.* p. 449.

οὕτω] "so sharply as even to engrave their names as infamous on pillars." Andoc. 1. 51, ἀναγραφέντας ἐν στήλοις ὡς ὄντας ἀλιτηρίους τῶν θεῶν: Arist. *Rhet.* 2. 23. 25, κατηγορήσαντος Θρασυβούλου, ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει.

οὓς αἴσθοιντο] "any they noticed." Madv. 133.

ἐκ δέ] "the natural result of this was . ."

τὰ τῶν Ἑ.] 4. 45.

ἔχεθ' ὑμεῖς οὔτε πρὸς τὰ τοιαῦτα οὔτε πρὸς τἆλλα, ἀλλὰ πῶς; εἴπω; κελεύετε καὶ οὐκ ὀργιεῖσθε;

(ΕΚ ΤΟΥ ΓΡΑΜΜΑΤΕΙΟΥ ΑΝΑΓΙΓΝΩΣΚΕΙ.)

47. Ἔστι τοίνυν τις εὐήθης λόγος παρὰ τῶν παραμυθεῖσθαι βουλομένων τὴν πόλιν, ὡς ἄρα οὔπω Φίλιππός ἐστιν οἷοί ποτ' ἦσαν Λακεδαιμόνιοι, οἳ θαλάττης μὲν ἦρχον καὶ γῆς ἁπάσης, βασιλέα δὲ σύμμαχον εἶχον, ὑφίστατο δ' οὐδὲν αὐτούς· ἀλλ' ὅμως ἠμύνατο κἀκείνους ἡ πόλις καὶ οὐκ ἀνηρπάσθη. ἐγὼ δὲ ἁπάντων ὡς ἔπος εἰπεῖν πολλὴν εἰληφότων ἐπίδοσιν, καὶ οὐδὲν ὁμοίων ὄντων τῶν νῦν τοῖς πρότερον, οὐδὲν ἡγοῦμαι πλέον ἢ τὰ τοῦ πολέμου κεκινῆσθαι καὶ ἐπιδεδωκέναι. 48. πρῶτον μὲν γὰρ ἀκούω Λακεδαι-

§ 46. **ἔχεθ' .. πρός**] "your feelings are not the same either with regard to . . ." I have put the note of interrogation after *εἴπω*, "shall I tell you?" Bekk. st. joins *εἴπω κελεύετε*, which I do not understand. Dind. rightly, I think, encloses the heading *ἐκ τοῦ γραμματειου ἀναγιγνώσκει* in brackets, as it seems to have been inserted because the copyist did not see that the answer to *ἀλλὰ πῶς; εἴπω;* is given in § 70 sq. If the heading had been genuine we ought surely to have had *λέξω* and not *εἴπω*. Cf. 4. 29 and 6. 28.

§ 47. **Ἔστι τοίνυν**] "there is then . . ." Cf. 16. 11; 19. 187, *ἔστι τοίνυν τις πρόχειρος λόγος πᾶσι τοῖς . . βουλομένοις*: 20. 112 al. "a foolish remark made by," "a foolish saying of."

παρά] 18. 35, *λόγοι παρὰ τούτου ῥηθέντες*: 19. 56, *ταῖς παρ' Αἰσχίνου ῥηθείσαις ὑποσχέσεσι*. Cf. 1. 10.

θ. . . καὶ γῆς ἁ.] 1. 9.

αὐτούς] "and nothing resisted them.." Cf. 3. 24.

ἀνηρπάσθη] "was not destroyed." Ps. Dem. 10. 18; 21. 120, *ἂν δ' ἐπεξίω . . . δεῖ με ἀνηρπάσθαι*: and the famous sentence in Aesch. 3. 133, *Θῆβαι δέ, Θῆβαι πόλις ἀστυγείτων . . ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται*, "destroyed from off the face of Hellas."

ἐγὼ δέ] in emphatic opposition to those mentioned above. "but I myself . ."

ὡς ἔπος εἰπεῖν] 6. 1.

εἰλ. ἐπίδοσιν] "have received improvement." Isocr. 1. 1, *μεγίστην διαφορὰν εἰλήφασιν*: Id. 7. 6, *πυκνοτάτας λαμβάνει τὰς μεταβολάς*: Thuc. 1. 91, *ὕψος λαμβάνει*. So Lucr. 5. 681, "cum sumant augmina noctes."

κεκινῆσθαι] Isocr. 9. 7, *τὰς ἐπιδόσεις ἴσμεν γιγνομένας καὶ τῶν τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων οὐ διὰ τοὺς ἐμμένοντας τοῖς καθεστῶσιν ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας καὶ τολμῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων*. Thuc. 1. 71. "I do not think any thing has been so changed (revolutionized) as the art and practice of war."

§ 48. **ἀκούω**] 3. 21. "I am told that in those times the L., as all the rest, would for four or five months, just (*αὐτήν*) the season, invade and ravage . . ." This is illustrated by Thuc. 2. 47, 57; 3. 1 al. With *τὴν ὥρ.* comp. 4. 32; 8. 18; 56. 30, *παραχειμάζειν ἔδει καὶ περιμένειν τὴν ὡραίαν*.

μονίους τότε καὶ πάντας τοὺς ἄλλους τέτταρας μῆνας ἢ πέντε, τὴν ὡραίαν αὐτήν, ἐμβαλόντας ἂν καὶ κακώσαντας τὴν χώραν ὁπλίταις καὶ πολιτικοῖς στρατεύμασιν ἀναχωρεῖν ἐπ' οἴκου πάλιν· οὕτω δ' ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς, ὥστε οὐδὲ χρημάτων ὠνεῖσθαι παρ' οὐδενὸς οὐδέν, ἀλλ' εἶναι νόμιμόν τινα καὶ προφανῆ τὸν πόλεμον. 49. νυνὶ δ' ὁρᾶτε μὲν δήπου τὰ πλεῖστα τοὺς προδότας ἀπολωλεκότας, οὐδὲν δ' ἐκ παρατάξεως οὐδὲ μάχης γιγνόμενον· ἀκούετε δὲ Φίλιππον οὐχὶ τῷ φάλαγγα ὁπλιτῶν ἄγειν βαδίζονθ' ὅποι βούλεται, ἀλλὰ τῷ ψιλοὺς ἱππέας τοξότας ξένους, τοιοῦτον ἐξηρτῆσθαι στρατόπεδον. 50. ἐπειδὰν δ' ἐπὶ τούτοις πρὸς νοσοῦντας ἐν αὐτοῖς προσπέσῃ καὶ μηδεὶς ὑπὲρ τῆς χώρας δι' ἀπιστίαν ἐξίῃ, μηχανήματ' ἐπιστήσας πολιορκεῖ. καὶ σιωπῶ θέρος καὶ χειμῶνα, ὡς οὐδὲν διαφέρει, οὐδ' ἐστὶν ἐξαίρετος ὥρα τις ἣν διαλείπει. 51. ταῦτα μέντοι πάντας εἰδότας καὶ λογιζομένους οὐ δεῖ προσέσθαι τὸν πόλε-

ἀναχωρεῖν] the inf. of the imperfect. Madv. 117 *b*, r. 3.

ἀρχαίως εἶχον] "old-fashioned—primitive in their notions, or rather so sensible of their duties as citizens." Those were the days in which they had a due regard for the honour of the state and their duty as members of it. Cf. Arist. *Nub.* 915, *φρονεῖς ἀρχαικά*: cf. infr. 51, *τὴν εὐήθειαν τὴν τοῦ τότε . . . πολέμου*.

πολιτικῶς] "composed of citizens," not, as the fashion then was, of mercenaries. In Xen. *Hell.* 5. 3. 25, *τὸ πολιτικόν* is opposed to *τοὺς συμμάχους*. *Eth. Nic.* 3. 8. 9, *πρῶτοι γὰρ φεύγουσι* (*οἱ στρατιῶται*, "mercenaries," "professional soldiers") *τὰ δὲ πολιτικὰ* (the citizen troops) *μένοντα ἀποθνήσκει*: Dem. 18. 237. On the dat. Madv. 42, r. 3.

ἀλλ' εἶναι] "theirs being a legitimate and open kind of war."

§ 49. **δήπου**] "you must see . . ., and that nothing is done in fair field or battle . ." Aesch. 3. 88, *ἐκ παρατάξεως μάχῃ κρατήσαντες*. Dem. 4. 23.

τῷ . . . ἐξηρτῆσθαι] "but by his having attached to him . . . an army of this kind."

τοιοῦτον] see note to *τούτῳ*, 2. 6.

§ 50. **ἐπὶ τούτοις**] "at the head of these." Cf. 6. 12.

ν. ἐν αὐτοῖς] "suffering from internal disorders." Cf. § 12.

μ. ἐπιστήσας] supr. § 17. *θέρος* depends on *σιωπῶ*, according to Madv. 191.

διαφέρει] sc. *αὐτῷ*. "and that there is no excepted season during which he rests." Comp. 2. 23. In 18. 235 he says that the soldiers of Philip *τὰ ὅπλα εἶχον ἐν ταῖς χερσὶν ἀεί*.

§ 51. **ταῦτα**] "reflecting on these notorious facts, you ought not to let the war come into the country, nor by looking at the simplicity of . . plunge head foremost into ruin." Xen. *Cyrop.* 1. 4. 8, *ὁ ἵππος πίπτει εἰς γόνατα, καὶ μικροῦ κἀκεῖνον ἐξετραχήλισεν*. Here in the metaphorical sense derived from this. Cf. 2. 9, *ἀνεχαίτισε*.

μον εἰς τὴν χώραν, οὐδ' εἰς τὴν εὐήθειαν τὴν τοῦ τότε πρὸς Λακεδαιμονίους πολέμου βλέποντας ἐκτραχηλισθῆναι, ἀλλ' ὡς ἐκ πλείστου φυλάττεσθαι τοῖς πράγμασι καὶ ταῖς παρασκευαῖς, ὅπως οἴκοθεν μὴ κινήσεται σκοποῦντας, οὐχὶ συμπλακέντας διαγωνίζεσθαι. 52. πρὸς μὲν γὰρ πόλεμον πολλὰ φύσει πλεονεκτήμαθ' ἡμῖν ὑπάρχει, ἄν περ, ὦ ἄνδρες Ἀθηναῖοι, ποιεῖν ἐθέλωμεν ἃ δεῖ, ἡ φύσις τῆς ἐκείνου χώρας, ἧς ἄγειν καὶ φέρειν ἔστι πολλὴν καὶ κακῶς ποιεῖν, ἄλλα μυρία· εἰς δὲ ἀγῶνα ἄμεινον ἡμῶν ἐκεῖνος ἤσκηται.

53. Οὐ μόνον δὲ δεῖ ταῦτα γιγνώσκειν, οὐδὲ τοῖς ἔργοις ἐκεῖνον ἀμύνεσθαι τοῖς τοῦ πολέμου, ἀλλὰ καὶ τῷ λογισμῷ καὶ τῇ διανοίᾳ τοὺς παρ' ὑμῖν ὑπὲρ αὐτοῦ λέγοντας μισῆσαι, ἐνθυμουμένους ὅτι οὐκ ἔνεστι τῶν τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητε ὑπηρετοῦντας ἐκείνοις. 54. ὃ μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεοὺς οὐ δυνήσεσθε ὑμεῖς ποιῆσαι, ἀλλ' εἰς τοῦτο ἀφῖχθε μωρίας ἢ παρανοίας ἢ οὐκ ἔχω τί λέγω (πολλάκις γὰρ ἔμοιγ'

ὡς ἐκ πλ.] "as long beforehand as possible . . by your measures and preparations." The "tiro" will observe that this is the regular position of *ὡς* (*ὅτι*): 18. 246, *ὡς εἰς ἐλάχιστα*: 23. 102, *ὡς διὰ βραχυτάτου λόγου*: Thuc. 3. 46, *ὅτι ἐν βραχυτάτῳ*. *ὅπως* with the fut. ind. as 1. 2, "that he does not . . ."

συμπλακέντας] 2. 21, "and not close with him in mortal struggle."

§ 52. **γάρ]** "because."

φύσει πλ.] "natural advantages." Comp. 4. 31.

ἄν περ] "if only."

ἧς . . . πολλήν] 4. 16. Madv. 50 *a*, r. 3.

ἄλλα μ.] supr. 39. 1. 9, *τἄλλα*. Heind. *Gorg*. p. 517 D. He contrasts their resources for "a war" and "a battle" also in 14. 9, where he is speaking of their chance of success against Persia. For the change of preposition in *πρὸς* . . *εἰς* cf. 3. 1.

§ 53. **Οὐ . . οὐδέ]** "but it is not sufficient to adopt these resolutions or . . . ; you must also . . ." "Adverte Graecorum consuetudinem in talibus enuntiationibus adverbium *μόνον* soli priori membro sic tribuentium, ut etiam ad posterius pertineat" (Schäf.). Cf. 18. 2, *τοῦτο δ' ἐστὶν οὐ μόνον τὸ προκατεγνωκέναι μηδέν, οὐδὲ τὸ . .*:" ib. 107.

τῷ λ. καὶ τῇ δ.] i. e. both on rational and moral grounds, "on calculation, and on principle." Mr. K.

μισῆσαι] the ingressive aorist— "conceive a hatred of."

ἐν αὐτῇ τῇ π.] Comp. what he had just before said to them in 8. 61. cf. Livy, 3. 19, "Et vos . . . prius in Clivum Capitolinum signa intulistis, quam hos hostes de foro tolleretis?"

§ 54. **εἰς τοῦτο]** 3. 3, *εἰς πᾶν μ.*

ἢ οὐκ ἔχω, κ.τ.λ.] "or—I know not what to call it; for often even the fearful thought has suggested itself to me, that some evil spirit is driving us to ruin." On this pas-

ἐπελήλυθε καὶ τοῦτο φοβεῖσθαι, μή τι δαιμόνιον τὰ πράγματα ἐλαύνῃ), ὥστε λοιδορίας φθόνου σκώμματος, ἧς τινὸς ἂν τύχητε ἕνεκ' αἰτίας ἀνθρώπους μισθωτούς, ὧν οὐδ' ἂν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ εἰσὶ τοιοῦτοι, λέγειν κελεύετε, καὶ γελᾶτε ἄν τισι λοιδορηθῶσιν. 55. καὶ οὐχί πω τοῦτο δεινόν, καίπερ ὂν δεινόν· ἀλλὰ καὶ μετὰ πλείονος ἀσφαλείας πολιτεύεσθαι δεδώκατε τούτοις ἢ τοῖς ὑπὲρ ὑμῶν λέγουσιν. καίτοι θεάσασθε ὅσας συμφορὰς παρασκευάζει τὸ τῶν τοιούτων ἐθέλειν ἀκροᾶσθαι. λέξω δ' ἔργα ἃ πάντες εἴσεσθε.

56. Ἦσαν ἐν Ὀλύνθῳ τῶν ἐν τοῖς πράγμασι τινὲς μὲν

sage Cobet (*Nov. Lect.* p. 228) remarks, "Mala manus addidit φοβεῖσθαι, et sic ἐλαύνῃ natum est. Dixerat orator, ut opinor, π. ἔμοιγ' ἐπελήλυθε καὶ τοῦτο· μή τι δ. . .," a sentence which, I venture to think, could not have been written by Dem. or any Greek author of repute. cf. 23. 145, θαυμάζειν ἐπελήλυθε εἰ . . οὕτως ἐξηπάτησθε ῥᾳδίως. With this passage comp. Soph. *Antig.* 624; Xen. *Hell.* 6. 4. 2, ἡ δὲ ἐκκλησία (of the Spartans) ἀκούσασα ταῦτα ἐκεῖνον μὲν φλυαρεῖν ἡγήσατο· ἤδη γάρ, ὡς ἔοικε, τὸ δαιμόνιον ἦγεν: Lys. 6. 32, ὑπὸ δαιμονίου τινὸς ἀγόμενος ἀνάγκῃ: Lyc. § 92; Aesch. 3. 117, 133; Dem. 24. 121.

ἧς τινὸς ἂν τ.] "for any cause whatever in short;" closing the enumeration, as 1. 13, πάνθ'. With τύχητε Fr. &c. understand κελεύοντες. This explanation is highly improbable where the verb follows at such a distance as it does here. It is better to take it as a case of attraction. Thuc. 3. 43, πρὸς ὀργὴν ἥντινα τύχητ' ἔστιν ὅτε σφαλέντες . . . ζημιοῦτε. Id. 8. 48, μεθ' ὁποτέρου ἂν τύχωσι τούτων ἐλευθέρους εἶναι. Cf. 1. 3. Comp. what he says in 18. 138, τῆς ἐπὶ ταῖς λοιδορίαις ἡδονῆς καὶ χάριτος τὸ τῆς πόλεως συμφέρον ἀνταλλαττόμενοι.

ἀρνηθεῖεν . . . ὡς οὐκ] Thuc. 8. 24, οὐδ' αὐτοὺς ἀντιλέγοντας . . ὡς οὐ . . . Madv. 210, r. 2, and 159, r. 3. He refers no doubt in particular to Aeschines and Philocrates.

γελᾶτε] as in the case of Philocrates, mentioned on 6. 30.

§ 55. **καὶ . . δεινόν**] "and bad as this is, it is not the worst. The worst is that you have also (besides bidding them speak) . ." He no doubt alludes in particular to Aeschines, whom he had just before unsuccessfully impeached for misconduct as ambassador. 8. 30, καὶ τὸ . . εἶναι τοιούτους δεινὸν ὂν οὐ δεινόν ἐστιν. 21. 72; 23. 163, οὐ τοίνυν . . πω δῆλόν ἐσθ', οὕτω σαφῶς δῆλον ὂν . . ., ἀλλ' . . . Pl. *Lysis*, 204 D, καὶ ἃ μὲν καταλογάδην διηγεῖται δεινὰ ὄντα οὐ πάνυ τι δεινά ἐστιν· ἀλλ' ἐπειδὰν . .

παρασκευάζει] "brings about," "causes," supr. 38. Observe the insertion of ἐθέλειν, which throws τῶν τοιούτων into greater prominence. Comp. § 53, τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητ' ὑπηρετοῦντας.

§ 56. **Ἦσαν . . . Φ.**] "were the creatures of Philip," "were in his interest." *Oed. Tyr.* 917; Livy, 21. 11, "adeo prope omnis Senatus Hannibalis erat." Madv. 47.

τῶν ἐν τοῖς πρ] "those engaged in the conduct of affairs," "public men." Thuc. 3. 28, γνόντες δ' οἱ ἐν τοῖς πράγμασιν. Supr. § 2 we have

Φιλίππου καὶ πάνθ' ὑπηρετοῦντες ἐκείνῳ, τινὲς δὲ τοῦ βελτίστου καὶ ὅπως μὴ δουλεύσουσιν οἱ πολῖται πράττοντες. πότεροι δὴ τὴν πατρίδα ἐξώλεσαν; ἢ πότεροι τοὺς ἱππέας προύδοσαν, ὧν προδοθέντων Ὄλυνθος ἀπώλετο; οἱ τὰ Φιλίππου φρονοῦντες καὶ ὅτ' ἦν ἡ πόλις τοὺς τὰ βέλτιστα λέγοντας συκοφαντοῦντες καὶ διαβάλλοντες οὕτως ὥστε τόν γ' Ἀπολλωνίδην καὶ ἐκβαλεῖν ὁ δῆμος ὁ τῶν Ὀλυνθίων ἐπείσθη.

57. *Οὐ τοίνυν παρὰ τούτοις μόνοις τὸ ἔθος τοῦτο πάντα κακὰ εἰργάσατο, ἄλλοθι δ' οὐδαμοῦ· ἀλλ' ἐν Ἐρετρίᾳ, ἐπειδὴ ἀπαλλαγέντος Πλουτάρχου καὶ τῶν ξένων ὁ δῆμος εἶχε τὴν πόλιν καὶ τὸν Πορθμόν, οἱ μὲν ἐφ' ὑμᾶς ἦγον τὰ πράγματα,*

demonst conative imperf.

the more common phrase *τοὺς ἐπὶ τοῖς πρ. ὄντας*.

τοῦ β.] "on the patriotic side, and labouring to prevent." Cf. 1. 2.

τοὺς ἱ.] Thirl. 5. 316.

τὰ Φ. φρ.] "the partisans of P., who while . ." Thuc. 6. 51, *οἱ μὲν τὰ τῶν Συρακοσίων φρονοῦντες*, al.

ἦν] "stood." 20. 22, *ἄνπερ ἡ πόλις ᾖ*. 8. 17; 18. 72, *ζώντων Ἀθηναίων καὶ ὄντων*.

τοὺς τὰ β. λ.] "the patriotic counsellors."

ἐκβαλεῖν] "so effectually that they induced," "till the people was induced even to expel *Apollonides*," well known to his hearers as the leader of the party favourable to them. The meaning of *ἐκβαλεῖν* is somewhat doubtful. Thirl. (5. 314) says, "We hear of a violent struggle between them and the friends of Athens, which ended in the expulsion or disgrace of one of their principal adversaries named A.," and in a note observes that "the word does not imply that he was obliged to seek his safety by flight from Olynthus," referring to 19. 337, *ἐξεβάλλετε αὐτόν*, where its meaning is defined by *ἐξεσυρίττετε ἐκ τῶν θεατρῶν*, and Aesch. 2. 4, *αὐτὸν ἐπὶ τῆς αἰτίας ταύτης ἐξεβάλλετε*, which simply means that Dem. was stopped by an open expression of disapprobation. If we adopt this view, we must translate "disgraced." But *γε* and *καί* are without force unless we adopt the stronger meaning. The partisans of P. succeeded in alienating the people from their honest advisers in general, and even got the most prominent of them expelled. We cannot suppose that they still listened to the rest, but disgraced A. in particular. cf. infr. 66, where the antithesis requires the stronger meaning.

§ 57. **τοίνυν**] continuative—"nor was it at Olynthus only . . ." supr. 27; 18. 288, *καὶ οὐχ ὁ μὲν δῆμος οὕτως, οἱ δὲ πατέρες . . ἄλλως πως.* Redh. compares Cic. *pro Mil.* § 84, "Neque in his corporibus . . . inest quiddam quod vigeat et sentiat, non est in naturae motu . ."

πάντα κακά] "utter ruin."

Πλουτάρχου] Thirl. 5. 262. Grote, 11. 474—477.

εἶχε τὴν π.] "was in possession of:" infr. 59.

ἐφ' . . ἦγον τὰ πρ.] 18. 151, *ἐπὶ τὸν Φίλιππον εὐθὺς ἡγεμόνα ἦγον.* So in Latin, Livy, 30. 23, "Princeps ejus factionis quae traxerat rem ad Poenos;" Id. 24, c. 2. Comp. the expression in Dem. 21. 116, *ἐπειδὴ τοῦτο τὸ πρᾶγμα* (the mur-

partisans = οἱ τὰ Φιλίππου φρονοῦντες

οἱ δ' ἐπὶ Φίλιππον. ἀκούοντες δὲ τούτων τὰ πολλὰ μᾶλλον οἱ ταλαίπωροι καὶ δυστυχεῖς Ἐρετριεῖς τελευτῶντες ἐπείσθησαν τοὺς ὑπὲρ αὐτῶν λέγοντας ἐκβαλεῖν. 58. καὶ γάρ τοι πέμψας Ἱππόνικον ὁ σύμμαχος αὐτοῖς Φίλιππος καὶ ξένους χιλίους, τὰ τείχη περιεῖλε τοῦ Πορθμοῦ καὶ τρεῖς κατέστησε τυράννους, Ἵππαρχον Αὐτομέδοντα Κλείταρχον· καὶ μετὰ ταῦτ' ἐξελήλακεν ἐκ τῆς χώρας δὶς ἤδη βουλομένους σώζεσθαι, τότε μὲν πέμψας τοὺς μετ' Εὐρυλόχου ξένους, πάλιν δὲ τοὺς μετὰ Παρμενίωνος.

59. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ἀλλ' ἐν Ὠρεῷ Φιλιστίδης μὲν ἔπραττε Φιλίππῳ καὶ Μένιππος καὶ Σωκράτης καὶ Θόας καὶ Ἀγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν πόλιν (καὶ ταῦτ' ᾔδεσαν ἅπαντες), Εὐφραῖος δέ τις, ἄνθρωπος καὶ παρ' ἡμῖν ποτ' ἐνθάδε οἰκήσας, ὅπως ἐλεύθεροι καὶ μηδενὸς δοῦλοι ἔσονται. 60. οὗτος τὰ μὲν ἄλλα ὡς ὑβρίζετο καὶ προεπηλακίζετο ὑπὸ τοῦ δήμου, πολλὰ ἂν εἴη λέγειν· ἐνιαυτῷ δὲ πρότερον τῆς ἁλώσεως ἐνέδειξεν ὡς προδότην τὸν Φιλιστίδην καὶ τοὺς μετ' αὐτοῦ, αἰσθόμενος ἃ πράττουσιν. συστραφέντες δὲ ἄνθρωποι πολλοὶ καὶ χορηγὸν ἔχοντες

der) οὐδὲ καθ' ἓν οἷός τ' ἦν ἀγαγεῖν ἐπ' ἐμέ, "fasten on."

τούτων] i. e. the partisans of Philip. After μᾶλλον Bekk. had δὲ τὰ πάντα, which he now omits with S pr. m.

ἐκβαλεῖν] "disgrace" would suit the passage well enough. But the following sentence makes the stronger meaning more probable.

§ 58. **αὐτοῖς**] "their friend and ally as they thought him."

Πορθμοῦ] supr. 33. Hipparchus and Cleitarchus are mentioned in the list of traitors given in 18. 295.

β. σώζεσθαι] "attempting to deliver themselves," i. e. from the tyrants.

§ 59. **Καὶ . . ἀλλ'**] supr. 25. So in Lat., *Pro Mil.* § 18, "Sed quid ego illa commemoro? Comprehensus est . . servus . .;" *Tusc. Disp.* 2, § 28. "but what need of many words? At Oreus . ."

ἔ. Φιλίππῳ] "was active for P." Thuc. 5. 76. With an acc. of the thing, 19. 77; 23. 11, Κερσοβλέπτῃ πράττων τὴν ἀρχήν. Grote, 11. 622. Harpocr. speaks of *Euphraeus* as having been a pupil of Plato. He was recommended by the philosopher to Perdiccas of Macedon, whose minister he was for some years. Thirl. 5. 165.

§ 60. **τὰ μὲν ἄλλα**] "how this person was in other ways insulted and ill-treated by the people would make a long story. But a year before the capture, perceiving what they were aiming at . ."

συστραφέντες] 23. 170, συστραφέντων τοῦ τε Βηρισάδου καὶ τοῦ Ἀμαδόκου. "but a number of persons combining, having P. for a paymaster, and acting under his inspiration." Dind. is right, I

Φίλιππον καὶ πρυτανευόμενοι ἀπάγουσι τὸν Εὐφραῖον εἰς τὸ δεσμωτήριον ὡς συνταράττοντα τὴν πόλιν. 61. ὁρῶν δὲ ταῦθ' ὁ δῆμος ὁ τῶν Ὠρειτῶν, ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν τοὺς δ' ἀποτυμπανίσαι, τοῖς μὲν οὐκ ὠργίζετο, τὸν δ' ἐπιτήδειον ταῦτα παθεῖν ἔφη καὶ ἐπέχαιρεν. μετὰ ταῦθ' οἱ μὲν ἐπ' ἐξουσίας ὁπόσης ἠβούλοντο ἔπραττον ὅπως ἡ πόλις ληφθήσεται, καὶ κατεσκευάζοντο τὴν πρᾶξιν· τῶν δὲ πολλῶν εἴ τις αἴσθοιτο, ἐσίγα καὶ κατεπέπληκτο, τὸν Εὐφραῖον, οἷα ἔπαθε, μεμνημένοι. οὕτω δ' ἀθλίως διέκειντο ὥστε οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προσιόντος ῥῆξαι φωνήν, πρὶν διασκευασάμενοι πρὸς τὰ τείχη προσῄεσαν οἱ πολέμιοι· τηνικαῦτα δ' οἱ μὲν ἠμύνοντο οἱ δὲ προυδίδοσαν. 62. τῆς δὲ πόλεως οὕτως ἁλούσης αἰσχρῶς καὶ κακῶς οἱ μὲν ἄρχουσι καὶ τυραννοῦσι, τοὺς τότε σῴζοντας αὑτοὺς καὶ τὸν Εὐφραῖον ἑτοίμους ὁτιοῦν ποιεῖν ὄντας τοὺς μὲν ἐκβαλόντες τοὺς δὲ ἀποκτείναντες, ὁ δ' Εὐφραῖος

think, in retaining παρ' ἐκείνου after πρυτανευόμενοι. Bekk. st. omits the words, with S pr. m.

χορηγόν] here in the general sense of "one who finds the means for any thing." 19. 216, Φιλίππῳ χορηγῷ χρώμενος. Aesch. 2. 79, where the speakers are said to make war χορηγὸν ταῖς καθ' ἡμέραν δαπάναις.

ὡς] Madv. 175 *d*.

§ 61. **ἀποτυμπανίσαι**] "cudgel to death." Cf. Mr. Shill., *De F. Leg.* § 150.

ἐπιτήδειον . . . π.] i. e. ἄξιον. "sic latine *idoneus* pro *dignus*" (Schäf.). "deserved what he suffered." Madv. 149.

ἐπ' ἐξουσίας] "with all the liberty of action . . ." 21. 138, ἐπ' ἐξουσίας . . . πονηρὸν εἶναι.

τὴν πρᾶξιν] "the execution of the plot."

κατεπέπληκτο] "causam silentii indicat, *tacebat attonitus*" (Fr.). "were silent and intimidated" (Mr. K.).

τὸν Εὐ. . . . μεμνημένοι] εἴ τις being virtually plural: 2. 18. Madv. 99 *d*. Thuc. 2. 21, μεμνημένοι καὶ Πλειστοάνακτα . . ὅτε . ., "remembering the fate of."

ῥ. φωνήν] "rumpere vocem," "break silence." "Significanter dictum, loqui tanquam ruptis vinculis quibus timor vocem constrinxerat." Schäf.

διασκευασάμενοι] "prepared for action." Whiston adds, "i. e. having broken up their camp," a sense which would require ἀνασκευασάμενοι.

ἠμύνοντο] "were for resisting." Madv. 113, r. 1.

§ 62. **ἄρχουσι καὶ τ.**] the latter word defining the former: supr. 39. Perhaps this passage may remove Mr. Shilleto's hesitation in understanding 19. 366 (Bekk. 319), τὸν ἡγούμενον καὶ στρατηγοῦντα Ὀνόμαρχον in the same way. "Since the city was thus captured . . have been ruling as despots," "have been lords and masters."

τοὺς τότε . . τοὺς μὲν . . τοὺς δέ] cf. 6. 11. "after banishing or putting to death those who . ." τότε, i. e. when Euphraeus laid an in-

ἐκεῖνος ἀπέσφαξεν ἑαυτόν, ἔργῳ μαρτυρήσας ὅτι καὶ δικαίως καὶ καθαρῶς ὑπὲρ τῶν πολιτῶν ἀνθειστήκει Φιλίππῳ.

63. Τί οὖν ποτ' αἴτιον, θαυμάζετ' ἴσως, τοῦ καὶ τοὺς Ὀλυνθίους καὶ τοὺς Ἐρετριεῖς καὶ τοὺς Ὠρείτας ἥδιον πρὸς τοὺς ὑπὲρ Φιλίππου λέγοντας ἔχειν ἢ τοὺς ὑπὲρ ἑαυτῶν; ὅπερ καὶ παρ' ὑμῖν, ὅτι τοῖς μὲν ὑπὲρ τοῦ βελτίστου λέγουσιν οὐδὲ βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς χάριν οὐδὲν εἰπεῖν· τὰ γὰρ πράγματ' ἀνάγκη σκοπεῖν ὅπως σωθήσεται· οἱ δ' ἐν αὐτοῖς οἷς χαρίζονται Φιλίππῳ συμπράττουσιν. εἰσφέρειν ἐκέλευον, οἱ δ' οὐδὲν δεῖν ἔφασαν· 64. πολεμεῖν καὶ μὴ πιστεύειν, οἱ δ' ἄγειν εἰρήνην, ἕως ἐγκατελήφθησαν. τἄλλα τὸν αὐτὸν τρόπον οἶμαι πάνθ', ἵνα μὴ καθ' ἕκαστα λέγω· οἱ μέν, ἐφ' οἷς χαριοῦνται, ταῦτ' ἔλεγον, οἱ δ' ἐξ ὧν ἔμελλον σωθήσεσθαι. πολλὰ δὲ καὶ τὰ τελευταῖα οὐχ

calculated to

formation against them as traitors (§ 60).

καθαρῶς] "disinterestedly."

§ 63. **Τί . . αἴτιον . . τοῦ**] Bekk.; Dind., West., &c. read *αἴτιον . . τό*, with F S. In 8. 56 the same MSS. have *τό*.

ἔχειν] the inf. of the imperfect—"were more favourably inclined to . ."

ἢ τούς] see note to § 2, *παρ' ἐν . .*

ὅπερ] "the same as."

οὐδὲ β. ἔνεστιν] "cannot even if they would."

τὰ . . πρ.] "how the interests of the state are to be." 6. 5.

ἐν . . . οἷς] "through the very things by which (supr. 2, *ἐν οἷς*) they make themselves agreeable they play into the hands of P."

ἐκέλευον] i. e. *οἱ ὑπὲρ ἑαυτῶν λ.*, so that *οἱ μέν* is not omitted here as it is in some cases, e. g Xen. *Hell.* 1. 2. 14, *ᾤχοντο ἐς Δεκέλειαν, οἱ δὲ ἐς Μέγαρα*: "they (the patriots) called for a war-tax, the others said it was not required."

§ 64. **ἐγκατελήφθησαν**] "were caught in the net," "ensnared."

τἄλλα] Probably no verb is to be supplied: "and so, I suppose, with every thing else, that I may not go into particulars." Redh. quotes Pl. *Crito*, 47 C, *οὐκοῦν καὶ τἄλλα . . οὕτως, ἵνα μὴ πάντα διΐωμεν.* So *Gorg.* c. 30, *Οὐκοῦν καὶ τἄλλα πάντα οὕτω*, "and so with every thing else in the same way."

ἐφ' οἷς] Jelf, 634. 3. "proposed measures by which they would please (and with that view), the others those calculated to save them." Bekk. st. omits *καὶ ἐλύπουν οὐδέν*, which he read after *ἔλεγον*, with the note "*καὶ ἐλύπουν οὐδέν* in marg. Υ; *μὴ λυποῦν* (apposito in margine *καί*) Ω; ceteri om.;"—and *προσῆσαν δ' ἀπέχθειαι*, which he had after *σωθήσεσθαι*. Dind. retains both.

πολλὰ . . καὶ τὰ τ.] "multa et quidem postrema (i. e. ea quae postremo prodiderunt)." Fr. "many things at last the people surrendered, not so much out of indulgence or through ignorance as from giving in as soon as they thought all was lost." "Pro *ἀλλά* exspectes *ὡς*. Sed ita saepius Graeci. Non multum differt *οὐ μᾶλλον ἀλλὰ . . .*" Schäf. Dind. quotes Prooem. 53, *ἄξιον δ' οὐχ οὕτω τούτοις ἐπιτιμῆσαι . . ἀλλ' ὑμῖν . .*"

οὕτως οὔτε πρὸς χάριν οὔτε δι' ἄγνοιαν οἱ πολλοὶ προΐεντο, ἀλλ' ὑποκατακλινόμενοι, ἐπειδὴ τοῖς ὅλοις ἡττᾶσθαι ἐνόμιζον. 65. ὃ νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω δέδοικα ἐγὼ μὴ πάθητε ὑμεῖς, ἐπειδὰν ἴδητε ἐκλογιζόμενοι μηδὲν ὑμῖν ἐνόν. καίτοι μὴ γένοιτο μὲν τὰ πράγματ' ἐν τούτῳ· τεθνάναι δὲ μυριάκις κρεῖττον ἢ κολακείᾳ τι ποιῆσαι Φιλίππου. 66. καλήν γ' οἱ πολλοὶ νῦν ἀπειλήφασιν Ὠρειτῶν χάριν, ὅτι τοῖς Φιλίππου φίλοις ἐπέτρεψαν αὑτούς, τὸν δ' Εὐφραῖον ἐώθουν· καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων, ὅτι τοὺς μὲν ὑμετέρους πρέσβεις ἀπήλασε, Κλειτάρχῳ δ' ἐνέδωκεν αὑτόν· δουλεύουσί γε μαστιγούμενοι καὶ σφαττόμενοι. καλῶς Ὀλυνθίων ἐφείσατο τῶν τὸν μὲν Λασθένη ἵππαρχον χειροτονησάντων, τὸν δὲ Ἀπολλωνίδην ἐκβαλόντων. 67. μωρία καὶ κακία τοιαῦτα ἐλπίζειν, καὶ κακῶς βουλευομένους καὶ μηδὲν ὧν προσήκει ποιεῖν ἐθέλοντας, ἀλλὰ τῶν ὑπὲρ τῶν ἐχθρῶν λεγόντων ἀκροωμένους, τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος 68. ὥστε μηδέν, μηδ' ἂν ὁτιοῦν ᾖ, δεινὸν πείσεσθαι. καὶ

τοῖς ὅλοις] 1. 3.

§ 65. **πάθητε ὑμεῖς**] "will be your feeling."

μηδὲν . . ἐνόν] "that you can do nothing."

καίτοι, κ.τ.λ.] "but I pray things may never come to this; if they should (δέ), it were better to die a thousand deaths than to do any thing out of base submission to (to ingratiate yourselves with) Philip." Bekk. had **Φιλίππῳ**, "to do any thing to please Philip out of . ." He now reads **Φιλίππου** with S pr. m.

κολακείᾳ] Madv. 41.

§ 66. **καλήν**] "a fine return truly." For the ironical use of γε cf. 18. 266, *ἀγαθῇ γ', οὐχ ὁρᾷς: τύχῃ* . . ." 19. 253; 23. 122. Eur. *Med.* 514, *καλόν γ' ὄνειδος.*

Κλειτάρχῳ] supr. § 58.

γε] "yes, they are slaves . . ."

Λασθένη] § 56, *πότεροι τοὺς ἱππέας προὔδοσαν.* 6. 21. When Demades afterwards moved that Euthycrates should be made a proxenus of Athens, Hyperides proposed a decree ironically setting forth his claims to the honour: *δεδόχθαι γάρ φησι πρόξενον αὐτὸν εἶναι, ὅτι τὰ Φιλίππου συμφέροντα καὶ πράττει καὶ λέγει, ὅτι γενόμενος ἵππαρχος τοὺς Ὀλυνθίων ἱππέας προὔδωκε Φιλίππῳ, ὅτι τοῦτο πράξας αἴτιος τοῦ Χαλκιδέων ὑπῆρξεν ὀλέθρου, ὅτι ἁλούσης Ὀλύνθου τιμητὴς ἐγένετο τῶν αἰχμαλώτων* . . . Hyper. frag. 80. Cf. 18. 47 sq.

§ 67. **μωρία**] "it is sheer folly and cowardice to entertain such hopes, and while . . . those who speak in the interest of your enemies." The sentence, though general, applies, of course, in particular to themselves. Cf. infr. 73.

§ 68. **ὥστε . . πείσεσθαι**] Madv. 171 *a*, r. 2.

μηδ' ἂν ὁτιοῦν ᾖ] "that come what will," "in any event." 19. 324, *ὑποσχήσονται ἐξ ὧν μηδ' ἂν ὁτιοῦν ᾖ κινηθήσονται.* Comp. also 18. 168, *ὡς οὐδ' ἂν εἴ τι γένοιτ'* . .

μηδὲν . . . δεινόν] Bekker has *ὥστε μηδ' ἂν ὁτιοῦν ᾖ δεινὸν πείσ.* But the Greeks did not say *ποιῶ τινα*

μὴν κἀκεῖνο αἰσχρόν, ὕστερόν ποτ' εἰπεῖν "τίς γὰρ ἂν ᾠήθη ταῦτα γενέσθαι; νὴ τὸν Δία, ἔδει γὰρ τὸ καὶ τὸ ποιῆσαι καὶ τὸ μὴ ποιῆσαι." πολλὰ ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιοι νῦν, ἃ τότ' εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο· πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς, πολλὰ τῶν ἀπολωλότων ἕκαστοι. 69. ἀλλὰ τί τούτων ὄφελος αὐτοῖς; ἕως ἂν σῴζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ' ἄνδρα ἑξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ' ἑκὼν μήτ' ἄκων μηδεὶς ἀνατρέψει, τοῦτο σκοπεῖσθαι· ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. 70. καὶ ἡμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῷοι, πόλιν μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα κάλλιστον,—τί ποιῶμεν; πάλαι τις ἡδέως ἂν ἴσως ἐρωτήσων κάθηται. ἐγὼ νὴ Δί' ἐρῶ, καὶ

βίαιον, ἔννομον &c., but βίαια, ἔννομα, δεινά, or βίαιόν τι &c., and therefore πάσχω βίαια, δεινά, or βίαιόν τι, δεινόν τι &c. Seager feeling this proposed to read ὥστε μηδέν, ἂν ὁτιοῦν ᾖ, δεινὸν πείσεσθαι, which however is hardly Greek, or ὥστε μηδέν, μηδ' . . ., which last conj. is adopted by Dind., whom I have followed. Dobree proposed ὥστε, μηδ' ἂν ὁτιοῦν ᾖ, μηδὲν . ., quoting 20. 105, περὶ τοῦ μηδενὶ δεῖν μηδὲν διδόναι μηδ' ἂν ὁτιοῦν πράξῃ. ibid. 5, ἐκ τοῦ μηδενὶ μηδὲν μηδ' ἂν ἄξιος ᾖ διδόναι.

τίς γάρ] "really who would have thought it!" Cf. 4. 10.

νὴ τὸν Δία . . . γάρ] cf. 6. 13.

τὸ καὶ τό] "this or that." Cf. Mr. Shill., *De F. Leg.* § 83, διὰ τὸ καὶ τὸ ἐσώθησαν οἱ Φωκεῖς. 18. 243. Lys. 19. 59, καί μοι κάλει τὸν καὶ τὸν . . . "Malim καὶ τὸ καὶ τὸ μὴ ποιῆσαι." Schäf. By the insertion of καί the sentence would gain in symmetry at the expense of taste. With the repetition of πολλά here comp. 18. 81, πολλὰ μὲν ἂν . . . πολλὰ δὲ . . . πολλὰ δέ. Note the emphatic position of τότ'. Cf. 4. 29, τοῦτ' ἂν γένηται. "which if foreseen at the time would have saved them from destruction."

§ 69.] **σῴζηται** = σῶν ᾖ, as in the application of the simile ἕως ἐσμὲν σῷοι. "is still safe."

ἄνδρα] "every man on board."

μήθ' ἑκὼν μήτ' ἄκων] "either designedly or by accident," a familiar form of words. Soph. *Phil.* 770, ἐφίεμαι ἑκόντα μήτ' ἄκοντα μηδέ τῳ τέχνῃ κείνοις μεθεῖναι ταῦτα.

ἀνατρέψει] Bekk. st.; Bekk. ἀνατρέψῃ. See the note to 1. 2, βοηθήσετε.

The middle **σκοπεῖσθαι** must be noticed: Don. p. 438. "carefully watch that . ."

μ. ἡ σπουδή] "their exertions are vain." μάταιος is of two terminations also in 1. 17. On the omission of the copula, 6. 25.

§ 70. **καὶ ἡμεῖς**] 1. 11.

σῷοι] Bekk.; σῷ Dind. Cf. L. Dind. Xen. *Anab.* Praef. p. ix; Cobet, *Nov. Lect.* p. 436.

ἀφορμάς πλ.] cf. 4. 40; 1. 19.

ἀξίωμα] "reputation."

τί π.] "what must we do?" Madv. 121. How much more effective in a rhetorical point of view this sudden question is than a formal application of the simile which the hearer would at once supply, is obvious.

ἂν . . ἐρωτήσων] Bekk.; Dind. ἐρωτήσας. Fr. and Redh. follow Herm., who says "recte ponitur

γράψω δέ, ὥστε ἂν βούλησθε χειροτονήσετε. αὐτοὶ πρῶτον ἀμυνόμενοι καὶ παρασκευαζόμενοι, τριήρεσι καὶ χρήμασι καὶ στρατιώταις λέγω (καὶ γὰρ ἂν ἅπαντες δήπου δουλεύειν συγχωρήσωσιν οἱ ἄλλοι, ἡμῖν γ' ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον), 71. ταῦτα δὴ πάντα αὐτοὶ παρασκευασάμενοι καὶ ποιησάντες φανερὰ τοὺς ἄλλους ἤδη παρακαλῶμεν, καὶ τοὺς ταῦτα διδάξοντας ἐκπέμπωμεν πρέσβεις, ἵν' ἐὰν μὲν πείσητε, κοινωνοὺς ἔχητε καὶ τῶν κινδύνων καὶ τῶν ἀναλωμάτων, ἄν τι δέῃ, εἰ δὲ μή, χρόνους γε ἐμποιῆτε τοῖς πράγμασιν. 72. ἐπειδὴ γάρ ἐστι πρὸς ἄνδρα καὶ οὐχὶ συνεστώσης πόλεως ἰσχὺν ὁ πόλεμος, οὐδὲ τοῦτ' ἄχρηστον, οὐδ' αἱ

ἄν, quod simulatque interpungas apparet, πάλαι τις, ἡδέως ἂν ἴσως, ἐρωτήσων κάθηται. Supplendum est enim ἐρωτῶν sive τοῦτο ποιῶν." Redh. quotes in support of this view Aesch. 2. 6, ἐγὼ δ' ἐπ' αὐτῷ τούτῳ, δικαίως ἄν, ὑπολαμβάνω . . σωθήσεσθαι, where however Bekk. reads σώζεσθαι, with which ἂν is joined. If ἐρωτήσων be retained, ἂν must go with it, the construction being not uncommon. Cf. 19. 342. Pl. *Apol.* c. 17, ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα: Lys. 31. 21, ἂν ποιήσοντα (Cob. ποιήσαντα): Isocr. 6. 62, ἐπίσταμαι . . . Ἀθηναίους . . . ἂν ποιήσοντας: Thuc. 5. 15, ἂν ἐνδεξομένους: Id. 6. 20, ἂν . . προσδεξομένας (Bekk., Poppo, &c. προσδεξαμένας): Isocr. 8. 81, μάλιστ' ἂν ὑμᾶς λυπήσοντα: Xen. *Mem.* 2. 2. 3. (In 18. 168 Bekker still reads ἂν . . . συμπνευσόντων, a form justly condemned by Cobet, *Nov. Lect.* p. 171, as "barbarum"). Cf. on the other hand Cobet, *Nov. Lect.* p. 693, where he strenuously denies the legitimacy of the construction, in which Madv. (184, r.) agrees with him: "some of my hearers (6. 4) perhaps have long been anxious to ask."

καὶ . . δέ] 3. 15. "and will move a resolution too."

χειροτονήσετε] Bekk. st. from S and other MSS.; Bekk. χειροτονήσατε. S has the fut. ind. also in 4. 30, where Bekk. st. reads χειροτονήσατε. Cf. 6. 6, προσθήσεσθε.

λέγω] 1. 27. "with ships I mean, and . . for of course should all . . *we* must fight for . . When I say we have made all these preparations ourselves . . let us then . ." For παρασκευασάμενοι (so also Dind.) West., Fr., and Redh. read παρεσκευασμένοι with S, a combination of the perf. and aor. which often occurs. Cf. 19. 18, 72, 207.

§ 71. **τοὺς τ. δ.**] 1. 2; 2. 11. "to make this known," i. e. that we are ready to take the field. After πρέσβεις Bekk. had, from all his MSS. except S pr. m., the words πανταχοῖ, εἰς Πελοπόννησον, εἰς Ῥόδον, εἰς Χίον, ὡς βασιλέα λέγω (οὐδὲ γὰρ τῶν ἐκείνῳ συμφερόντων ἀφέστηκε τὸ μὴ τοῦτον ἐᾶσαι πάντα καταστρέψασθαι) . . Dind. retains them.

χρ. γε ἐμποιῆτε] "you may at least delay operations," or simply "gain time." Thuc. 3. 38, χρόνου διατριβὴν ἐμποιησάντων. Dem. 23. 93. Comp. 19. 324, χρόνος ἐγγένηται τοῖς πράγμασιν.

§ 72. **πρὸς ἄνδρα**] "against an individual man (to whom something may happen at any time), and not against the strength of an established (permanent) state, even this . . .," i. e. χρόνους ἐμπ. τοῖς πρ.

παρα ετος

πέρυσι πρεσβεῖαι περὶ τὴν Πελοπόννησον ἐκεῖναι καὶ κατηγορίαι, ἃς ἐγὼ καὶ Πολύευκτος ὁ βέλτιστος ἐκεινοσὶ καὶ Ἡγήσιππος καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν, καὶ ἐποιήσαμεν ἐπισχεῖν ἐκεῖνον καὶ μήτ' ἐπ' Ἀμβρακίαν ἐλθεῖν μήτ' ἐς Πελοπόννησον ὁρμῆσαι. 73. *οὐ μέντοι λέγω μηδὲν αὐτοὺς ὑπὲρ αὐτῶν ἀναγκαῖον ἐθέλοντας ποιεῖν τοὺς ἄλλους παρακαλεῖν· καὶ γὰρ εὔηθες τὰ οἰκεῖα αὐτοὺς προεμένους τῶν ἀλλοτρίων φάσκειν κήδεσθαι, καὶ τὰ παρόντα περιορῶντας ὑπὲρ τῶν μελλόντων τοὺς ἄλλους φοβεῖν. οὐ λέγω ταῦτα, ἀλλὰ τοῖς μὲν ἐν Χερρονήσῳ χρήματ' ἀποστέλλειν φημὶ δεῖν καὶ τἄλλα ὅσα ἀξιοῦσι ποιεῖν, αὐτοὺς δὲ παρασκευάζεσθαι, τοὺς δ' ἄλλους Ἕλληνας συγκαλεῖν συνάγειν διδάσκειν νουθετεῖν· ταῦτ' ἐστὶ πόλεως ἀξίωμα ἐχούσης ἡλίκον ὑμῖν ὑπάρχει.* 74. *εἰ δ' οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα σώσειν*

ἃς is referred by Schäf. to *αἱ πέρυσι πρεσβεῖαι*, to which *κατηγορίαι* is subordinate. Compare, with Westermann, Hom. *Odyss*. 2. 283, *θάνατον καὶ κῆρα μέλαιναν, ὃς δή σφ. σχεδόν ἐστιν*: Dem. 47. 77, *ἀνάγνωθί μοι τὸν νόμον καὶ τὴν μαρτυρίαν, ὃς κελεύει* . . . It seems more correct to say that ἃς refers to both; *κατηγορίαι ἃς περιήλθομεν* becoming a possible expression by its combination with *πρεσβεῖαι*. cf. 1. 3, and 6. 32, note to *λόγον . . . ποιήσω*. On the accusative Madv. 26, and Lob. Soph. *Aj*. 290. "nor were those missions of last year or the charges with which I and my excellent friend P. there . . . went about the P." Cf. 8. 37, *τί οὖν πρεσβεύεσθε καὶ κατηγορεῖτε* . . ., a passage which, as Thirl. (vi. p. 18, note) observes, sufficiently defends the present reading against Winiewski's proposal to substitute *Ἀκαρνανίαν* for *κατηγορίαι*, though the embassy to Acarnania is attested by Aesch. 3. 97. On these missions see Thirl. l. c.; Dem. 18. 79. *Polyeuctus*, of the deme Sphettus, a political friend of Dem., afterwards accused along with him of taking bribes from Harpalus. cf. Deinarch. c. Dem. § 100; *Gr. and R. Dict. of Biogr*. s. v.

καὶ ἐποιήσαμεν] "and by which we made him." Madv. 104 *a*.

§ 73. **οὐ . . λέγω**] "I do not however recommend that you should invite the rest, if you are not willing to take any measure necessary for your defence . . . whilst you are sacrificing your own interests to profess . . ."

τοῖς . . ἐν X] supr. 20.

συγκαλεῖν, *κ.τ.λ.*] "summon, bring together, instruct, warn the rest." 8. 76. The words fall into two pairs. Comp. with Redh. 39. 34, *ἂν δ' ἐπιβουλεύῃς δικάζῃ, φθονῇς βλασφημῇς*: 23. 185, *πολίτης εὐεργετὴς στέφανοι δωρεαί*: Cic. *Phil*. 7. 26, "excitati erecti, parati armati;" 14 8, "pestem vastitatem, cruciatus tormenta;" *Catil*. 3, § 1. *Hegesippus*, another political friend of Dem., and author of the speech **περὶ Ἀλοννήσου**.

ταῦτ'] "this is the part that should be played by a city possessing such a reputation as ours."

§ 74 **X. ἢ M.**] "that Ch. or M.," people of their calibre. Possibly

ἢ Μεγαρέας, ὑμεῖς δ' ἀποδράσεσθαι τὰ πράγματα, οὐκ ὀρθῶς οἴεσθε· ἀγαπητὸν γὰρ ἂν αὐτοὶ σώζωνται τούτων ἕκαστοι. ἀλλ' ὑμῖν τοῦτο πρακτέον· ὑμῖν οἱ πρόγονοι τοῦτο τὸ γέρας ἐκτήσαντο καὶ κατέλιπον μετὰ πολλῶν καὶ μεγάλων κινδύνων. 75. εἰ δ' ὃ βούλεται ζητῶν ἕκαστος καθεδεῖται, καὶ ὅπως μηδὲν αὐτὸς ποιήσει σκοπῶν, πρῶτον μὲν οὐδὲ μή ποθ' εὕρῃ τοὺς ποιήσοντας, ἔπειτα δέδοικα ὅπως μὴ πάνθ' ἅμα, ὅσα οὐ βουλόμεθα, ποιεῖν ἡμῖν ἀνάγκη γενήσεται.

76. Ἐγὼ μὲν δὴ ταῦτα λέγω, ταῦτα γράφω· καὶ οἴομαι καὶ νῦν ἔτι ἐπανορθωθῆναι ἂν τὰ πράγματα τούτων γιγνομένων. εἰ δέ τις ἔχει τούτων τι βέλτιον, λεγέτω καὶ συμβουλευέτω. ὅ τι δ' ὑμῖν δόξει, τοῦτ', ὦ πάντες θεοί, συνενέγκοι.

this refers to the project of a league among all the cities of Euboea for the maintenance of their independence, set on foot by Callias of Chalcis, and the great promises he made of assistance in men and money from Achaea, Megara, and Euboea. Aesch. 3. 94 sq.

τὰ πρ.] "the work," "the task."

ἀγαπητὸν . . . ἂν] "may be thankful if." supr. 17; 8. 18. Note the emphasis on ὑμῖν: "no! *you* must . ."

γέρας] i. e. the privilege of saving Hellas and being the champions of its liberties: cf. 4. 3. "to *you* your ancestors bequeathed this privilege won by many . ."

μετά] 3. 36.

§ 75. **ὃ βούλεται**] "his pleasure (and not his duty), and looking how he shall escape doing any thing himself . ."

πρ. μὲν . . ἔπειτα] supr. 9. "besides that there is no chance of his finding any to do it (3. 35), I fear . ."

οὐδὲ μή ποθ' εὕρῃ] 4. 44.

δέδοικα ὅπως μή] Madv. 124 *b*. Xen. *Mem*. 2. 9. 2, *εἰ μὴ φοβοίμην ὅπως μὴ ἐπ' αὐτόν με τράποιτο*. Pl. *Phaed*. p. 84 B, *οὐδὲν δεινὸν μὴ φοβηθῇ . . . ὅπως μὴ . . . οἴχηται*.

ὅσα οὐ β.] referring to the definite duties they could not bring themselves to perform—"all we do not wish." 1. 15.

ποιεῖν . . ἀνάγκη] 1. 15.

§ 76. **ἐπανορθωθῆναι ἂν**] 4. 13, *ἀπαλλάξαι ἄν*.

γιγνομένων] i. e. *ἐὰν γίγνηται*. Madv. 135 *c*, r. 1 *a*. "and I believe that even now our fortunes might be retrieved if this be done."

τούτων τι β.] Bekk.; Dind. reads *τι τούτων β.*; West. omits *τι* with S. Without *τι* the words cannot give the meaning required here: cf. supr. 68, *δεινὸν πείσεσθαι*.

λ. καὶ σ.] "let him come forward and give it."

συνενέγκοι] compare the conclusions of the third and fourth speeches.

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Δ.

ΥΠΟΘΕΣΙΣ. *Καὶ οὗτος τὴν αὐτὴν ὑπόθεσιν ἔχει τῷ φθάνοντι καὶ πλέον οὐδὲν οὐδὲ ἴδιον, πλὴν τὸ περὶ τῆς ὁμονοίας πολίτευμα· διαφερομένων γὰρ τῶν πλουσίων πρὸς τοὺς πένητας, ὁ Δημοσθένης καταπαύειν πειρᾶται τὴν στάσιν, τῷ μὲν δήμῳ παραινῶν μὴ δημεύειν τὰς τῶν πλουσίων οὐσίας, τοῖς δὲ πλουσίοις μὴ φθονεῖν τοῖς ἀπόροις τοῦ δημοσίου λήμματος. πείθει δὲ τοὺς Ἀθηναίους καὶ πρὸς τῶν Περσῶν βασιλέα περὶ συμμαχίας πρεσβεύεσθαι.*

1. *Καὶ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει, πειράσομαι περὶ αὐτῶν εἰπεῖν ἃ νομίζω συμφέρειν. οὐκ ὀλίγων δ' ὄντων ἁμαρτημάτων οὐδ' ἐκ μικροῦ χρόνου συνειλεγμένων, ἐξ ὧν φαύλως ταῦτ' ἔχει, οὐδέν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων δυσκολώτερον εἰς τὸ παρὸν ἢ ὅτι ταῖς γνώμαις ὑμεῖς*

ARGUMENT.—**τῷ φθάνοντι**] "the preceding," i. e. the 9th. A great deal is borrowed from the 8th, as will be seen from the references in the notes.

τὸ . . . πολίτευμα] "the advice:" § 35 sq.

δημεύειν] §§ 44, 45.

πρὸς τῶν Π. β.] § 31 sq.

Note.—Though reckoned by Dionysius Halic. among the genuine speeches of Demosthenes, and referred to without any misgiving by Aristeides, Hermogenes, and other rhetors, the fourth Philippic has by nearly all critics been condemned as spurious. Few students of Demosthenes will doubt the correctness of their judgment. The various points in the speech upon which this conclusion is founded are noticed in their several places. Those who look upon the speech as genuine refer it to B.C. 341.

§ 1. **σπουδαῖα**] "important," = the *σπουδῆς ἄξια* of Isocr. 8. 1, who refers to such exordia as this: ***ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε ταῦτα μέγιστα φάσκειν εἶναι καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύειν.*** Dem. 24. 4 uses language very similar to this.

ἀναγκαῖα] "of pressing consequence to."

οὐδ' ἐκ, *κ.τ.λ.*] "the accumulation of no inconsiderable time."

ἐξ ὧν, *κ.τ.λ.*] "which have brought things to . . ."

ταῖς γν. . . ἀφ.] cf. 4. 12, ***ἀπηρτημένοι . . . ταῖς γνώμαις***: 9. 19. 'the worst fault of all is your indifference to the public business.'

ἀφεστήκατε τῶν πραγμάτων, καὶ τοσοῦτον χρόνον σπουδάζετε ὅσον ἂν κάθησθε ἀκούοντες, ἣν προσαγγελθῇ τι νεώτερον, εἶτ' ἀπελθὼν ἕκαστος ὑμῶν οὐ μόνον οὐδὲν φροντίζει περὶ αὐτῶν, ἀλλ' οὐδὲ μέμνηται. 2. ἡ μὲν οὖν ἀσέλγεια καὶ πλεονεξία, ᾗ πρὸς ἅπαντας ἀνθρώπους Φίλιππος χρῆται, τοσαύτη τὸ πλῆθος ὅσην ἀκούετε· ὅτι δ' οὐκ ἔνι ταύτης ἐκεῖνον ἐπισχεῖν ἐκ λόγου καὶ δημηγορίας, οὐδεὶς ἀγνοεῖ δήπου. καὶ γὰρ εἰ μηδ' ἀφ' ἑνὸς τῶν ἄλλων τοῦτο μαθεῖν δύναταί τις, ὡδὶ λογισάσθω. ἡμεῖς οὐδαμοῦ πώποτε, ὅπου περὶ τῶν δικαίων εἰπεῖν ἐδέησεν, ἡττήθημεν οὐδ' ἀδικεῖν ἐδόξαμεν, ἀλλὰ πάντων πανταχοῦ κρατοῦμεν καὶ περίεσμεν τῷ λόγῳ. 3. ἆρ' οὖν διὰ τοῦτ' ἐκείνῳ φαύλως ἔχει τὰ πράγματα ἢ τῇ πόλει καλῶς; πολλοῦ γε καὶ δεῖ· ἐπειδὰν γὰρ ὁ μὲν λαβὼν μετὰ ταῦτα βαδίζῃ τὰ ὅπλα, πᾶσι τοῖς οὖσιν ἑτοίμως κινδυνεύσων, ἡμεῖς δὲ καθώμεθα εἰρηκότες τὰ

σπουδάζετε] "you are interested," "give your attention."

ἣν προσαγγελθῇ] Bekk.; Dind. ἢ πρ., with F S Υ: "you give your attention to it just while you are listening to some news that may be reported, then you go away each of you, and so far from caring any thing about it, forget it altogether (do not so much as remember it)." This is the character of the people given, according to Dem. 19. 136, by Aeschines to Philip—*ὁ μὲν ἦλθεν, ὁ δ' ἀπῆλθεν, μέλει δ' οὐδενὶ τῶν κοινῶν, οὐδὲ μέμνηται.*

προσαγγελθῇ] 4. 36.

§ 2. **οὖν**] 1. 2.

ἀσέλγεια] comp. the opening words of 21. 1, *τὴν μὲν ἀσέλγειαν . . . καὶ τὴν ὕβριν, ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας.* Cf. 9. 35, "the overbearing and ambitious spirit P. exhibits—shows in his conduct towards all." The Schol. supposes that the speech was delivered without preparation, on the receipt of an alarming despatch from *Thrace*, and in this way explains the introduction of so many passages from other speeches. This is one of the passages from which he infers that such a despatch was received; but in quoting it he omits the words *ᾗ πρὸς ἅπαντας ἀνθρώπους Φίλιππος χρῆται.*

τὸ πλῆθος] here, as frequently, "extent."

ἀκούετε] i. e. from preceding speakers.

ἐκ . . δημηγορίας] "by talk and declamation."

οὐδεὶς . . . δήπου] 9. 29, where Bekk. had *οὐδεὶς ἀγνοεῖ δήπου*, as here.

περὶ τῶν δ.] 6. 1.

ἐδέησεν] "we had to," "were called upon to."

πάντων π.] cf. 2. 24, "we beat and get the better of all every where in argument." 6. 3 and 18. 244.

§ 3. **πολλοῦ . . δεῖ**] 9. 18.

ἐπειδάν] "for when he after this marches arms in hand, ready and willing to risk his all (9. 18), while we sit still the arguers and hearers of these claims . ." *οἱ μέν* is read before *εἰρηκότες* in F Υ Ω. 18. 121, *νόμους μεταποιῶν, τῶν δ' ἀφαιρῶν μέρη.* 19. 180.

δίκαια, οἱ δ' ἀκηκοότες, εἰκότως οἶμαι τοὺς λόγους τὰ ἔργα παρέρχεται, καὶ προσέχουσιν ἅπαντες οὐχ οἷς εἴπομέν ποθ' ἡμεῖς δικαίοις ἢ νῦν ἂν εἴποιμεν, ἀλλ' οἷς ποιοῦμεν. ἔστι δὲ ταῦτα οὐδένα τῶν ἀδικουμένων σώζειν δυνάμενα· οὐδὲν γὰρ δεῖ πλείω περὶ αὐτῶν λέγειν. 4. τοιγάρτοι διεστηκότων εἰς δύο ταῦτα τῶν ἐν ταῖς πόλεσι, τῶν μὲν εἰς τὸ μήτε ἄρχειν βίᾳ βούλεσθαι μηδενὸς μήτε δουλεύειν ἄλλῳ, ἀλλ' ἐν ἐλευθερίᾳ καὶ νόμοις ἐξ ἴσου πολιτεύεσθαι, τῶν δ' εἰς τὸ ἄρχειν μὲν τῶν πολιτῶν ἐπιθυμεῖν, ἑτέρῳ δ' ὑπακούειν, δι' ὅτου ποτ' ἂν οἴωνται τοῦτο δυνήσεσθαι ποιῆσαι, οἱ τῆς ἐκείνου προαιρέσεως, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες, κεκρατήκασι πανταχοῦ, καὶ πόλις δημοκρατουμένη βεβαίως οὐκ οἶδ' εἴ τίς ἐστι τῶν πασῶν λοιπὴ πλὴν ἡ ἡμετέρα. 5. καὶ κεκρατήκασιν οἱ δι' ἐκείνου τὰς πολιτείας ποιούμενοι πᾶσιν ὅσοις πράγματα πράττεται, πρώτῳ μὲν

οὐχ οἷς] "claims we once advanced or might now advance."

ἔστι . . . δυνάμενα] 3. 25, and infr. § 14.

γάρ] "so it is useless to say . ."

§ 4. **διεστηκότων**] Instances of this division of parties are given in 9. 59 sq.: "as the several states are split into the two parties (cf. infr. 51, *εἰς δύο ταῦτα διῄρητο*, and 53; Pl. *Rep.* 5. 470 D, *διαστῇ πόλις*) of those who wish (i. e. *διεστηκότων εἰς τὸ . . . βούλεσθαι*) . . . but to live in freedom and under laws on terms of equality, and of those who long to govern their fellow-citizens and be subject to any external power by whose help they think they will be able . . ."

On **νόμοις** cf. 6. 25. As the words *δι' ὅτου ἂν* show that if Philip is specially meant others are included, *ἐκείνου* must necessarily be taken with Schäfer as a neuter referring to *τὸ ἄρχειν . . ἐπιθυμεῖν*, "the men of these views,"—*προαίρεσις* being often used in a political sense, e. g. 18. 59, *πολλῶν προαιρέσεων οὐσῶν τῆς πολιτείας*.

δυναστειῶν, as distinguished from *τυραννίδων*, must mean an *ἄρχειν τῶν πολιτῶν* divided among several persons. Cf. Thuc. 3. 62, which will also serve to illustrate *νόμοις*: *ἡμῖν . . ἡ πόλις τότε ἐτύγχανεν οὔτε κατ' ὀλιγαρχίαν ἰσόνομον πολιτεύουσα, οὔτε κατὰ δημοκρατίαν· ὅπερ δέ ἐστι νόμοις μὲν καὶ τῷ σωφρονεστάτῳ ἐναντιώτατον, ἐγγυτάτω δὲ τυράννου, δυναστεία ὀλίγων ἀνδρῶν εἶχε τὰ πράγματα.* "tyrannies and despotic authorities." Infr. 53.

πόλις δ.] "and I question whether among them all there is a state left, except your own, under a firmly established democracy."

§ 5. **οἱ δι' ἐ. τὰς π. π.**] "this party" (*τὰς π. π.* being of course the resolution of *πολιτευόμενοι* "qui illâ ratione ac consilio agunt in republicâ administrandâ," Redh.): "this party has gained the upper hand by all the means with which affairs are managed, first and mainly because those who . . a person to give it in their interest (i. e. of those who wish to make themselves despots)." Dind. and the Zurich editors read *βουλομένοις*, which makes the sense clearer.

πάντων καὶ πλείστῳ τῷ τοὺς βουλομένους χρήματα λαμβάνειν ἔχειν τὸν δώσοντα ὑπὲρ αὐτῶν, δευτέρῳ δὲ καὶ οὐδὲν ἐλάττονι τούτου τῷ δύναμιν τὴν καταστρεψομένην τοὺς ἐναντιουμένους αὐτοῖς ἐν οἷς ἂν αἰτήσωσι χρόνοις παρεῖναι. 6. ἡμεῖς δ' οὐ μόνον τούτοις ὑπολειπόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' οὐδ' ἀνεγερθῆναι δυνάμεθα, ἀλλὰ μανδραγόραν πεπωκόσιν ἤ τι φάρμακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀνθρώποις· εἶτ', οἶμαι, (δεῖ γάρ, ὡς ἐγὼ κρίνω, λέγειν τἀληθῆ) οὕτω διαβεβλήμεθα καὶ καταπεφρονήμεθα ἐκ τούτων ὥστε τῶν ἐν αὐτῷ τῷ κινδυνεύειν ὄντων οἱ μὲν ὑπὲρ τῆς ἡγεμονίας ἡμῖν ἀντιλέγουσιν, οἱ δ' ὑπὲρ τοῦ ποῦ συνεδρεύσουσι, τινὲς δὲ καθ' ἑαυτοὺς ἀμύνεσθαι μᾶλλον ἢ μεθ' ἡμῶν ἐγνώκασιν.

7. Τοῦ χάριν δὴ ταῦτα λέγω καὶ διεξέρχομαι; οὐ γὰρ ἀπεχθάνεσθαι μὰ τὸν Δία καὶ πάντας τοὺς θεοὺς προαιροῦμαι. ἵν' ὑμῶν ἕκαστος, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο γνῷ καὶ ἴδῃ, ὅτι ἡ καθ' ἡμέραν ῥᾳστώνη καὶ ῥᾳθυμία, ὥσπερ τοῖς ἰδίοις βίοις, οὕτω καὶ ταῖς πόλεσιν οὐκ ἐφ' ἑκάστου τῶν ἀμελουμένων ποιεῖ τὴν αἴσθησιν εὐθέως, ἀλλ' ἐπὶ τῷ

αὐτοῖς . . παρεῖναι] "is at their command."

§ 6. **τούτοις**] "in these respects." Madv. 40.

ἀλλ' οὐδ'] "we are not even able to rouse ourselves."

μανδραγόραν] Xen. *Symp.* 2. 24, *τῷ γὰρ ὄντι ὁ οἶνος ἄρδων τὰς ψυχὰς τὰς μὲν λύπας ὥσπερ ὁ μανδραγόρας κοιμίζει.* Pl. *Rep.* 6. 488 c; *Othello*, act 3, sc. 3.

εἶτ', οἶμαι] "the natural result is . . ."

διαβεβλ.] "discredited," "in bad repute."

ἐκ τούτων] Madv. 39, r.

ἐν αὐτῷ τῷ κ.] "in actual danger."

οἱ μέν] Wolff refers this to the Spartans. It more probably refers to the Thebans.

ποῦ σ.] "the place of congress," "the place where the congress shall be held." The people of Chalcis are probably meant: cf. Thirl. 5. 44.

καθ' ἑαυτούς] we might refer this to the Byzantines: cf. 8. 14 sq.

§ 7. **λέγω καὶ διεξέρχομαι**] 9. 7, *λέγω καὶ διορίζομαι.* 18. 22, *ἐδίδαξας καὶ διεξῆλθες.* 18. 21, *ἀκριβολογοῦμαι καὶ διεξέρχομαι* . . . "with what object do I enter into this detail?"

γνῷ καὶ ἴδῃ] 4. 3.

ἡ καθ' ἡμέραν ῥᾳστώνη] "that habitual indolence and indifference do not make themselves felt by states any more than by individuals in private life on the occasion of each instance of neglect (*ἐπί*, cf. 2. 1), but come upon them in the general result." cf. 1. 11.

π. τὴν αἴσθησιν] Thuc. 2. 61, *τὸ λυποῦν ἔχει ἤδη τὴν αἴσθησιν ἑκάστῳ.*

κεφαλαίῳ τῶν πραγμάτων ἀπαντᾷ. 8. *ὁρᾶτε Σέρριον καὶ Δορίσκον· ταῦτα γὰρ πρῶτον ὠλιγωρήθη μετὰ τὴν εἰρήνην, ἃ πολλοῖς ὑμῶν οὐδὲ γνώριμά ἐστιν ἴσως. ταῦτα μέντοι ἐαθέντα καὶ παροφθέντα ἀπώλεσε Θρᾴκην καὶ Κερσοβλέπτην, σύμμαχον ὄντα ὑμῶν. πάλιν ταῦτ' ἀμελούμενα ἰδὼν καὶ οὐδεμιᾶς βοηθείας τυγχάνοντα παρ' ὑμῶν κατέσκαπτε Πορθμόν, καὶ τυραννίδα ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπετείχισεν ὑμῖν ἐν τῇ Εὐβοίᾳ.* 9. *ταύτης ὀλιγωρουμένης Μέγαρα ἑάλω παρὰ μικρόν. οὐδὲν ἐφροντίσατε οὐδ' ἐπεστράφητε ἐπ' οὐδενὶ τούτων, οὐδ' ἐνεδείξασθε τοῦθ', ὅτι οὐκ ἐπιτρέψετε ταῦτα ποιεῖν αὐτῷ· Ἀντρῶνας ἐπρίατο καὶ μετ' οὐ πολὺν χρόνον τὰ ἐν Ὠρεῷ πράγματ' εἰλήφει.* 10. *πολλὰ δὲ καὶ παραλείπω, Φεράς, τὴν ἐπ' Ἀμβρακίαν ὁδόν, τὰς ἐν Ἤλιδι σφαγάς, ἄλλα μυρία· οὐ γὰρ ἵν' ἐξαριθμήσωμαι τοὺς βεβιασμένους καὶ τοὺς ἠδικημένους ὑπὸ Φιλίππου, ταῦτα διεξῆλθον, ἀλλ' ἵνα τοῦθ' ὑμῖν δείξω, ὅτι οὐ στήσεται πάντας ἀνθρώπους ἀδικῶν, τὰ δ' ὑφ' αὑτῷ ποιούμενος Φίλιππος, εἰ μή τις αὐτὸν κωλύσει.*

§ 8. **Σέρριον, κ.τ.λ.**] note to 9. 15.

οὐδὲ γ.] "places which I dare say many of you never even heard of," "not even known by name."

ταῦτα, κ.τ.λ.] "yet your abandonment and disregard . . ." cf. Grote, 11. 557.

Πορθμόν] 9. 58.

ἐπετείχισεν] "and he established a tyranny over against A. in Euboea as a fortress against you." 9. 58. 19. 326, *ἀντὶ δὲ τοῦ τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως ὑμῖν παραδοθῆναι ὁρμητήρια ἐφ' ὑμᾶς ἐν Εὐβοίᾳ Φ. προσπαρασκευάζεται· καὶ Γεραιστῷ καὶ Μεγάροις ἐπιβουλεύων διατελεῖ.*

§ 9. **παρὰ μικρόν**] "very nearly." Thuc. 7. 71, *ἀεὶ παρ' ὀλίγον ἢ διέφευγον ἢ ἀπώλλυντο.* Id. 8. 76. Aesch. 3. 258, *παρ' οὐδὲν μὲν ἦλθον ἀποκτεῖναι.* Madv. 75 *f.*

ἐπεστράφητε ἐπ' οὐδενί] Bekk.; *οὐδὲν τούτων* F S Υ. Dind. Cobet, *Nov. Lect.* p. 628, conj. **οὐδὲ τούτων**: cf. Mr. Shill., *de F. Leg.* § 349. "you did not trouble yourselves at (about) . ."

ἐπιτρέψετε] Madv. 132 *b.*

Ἀντρῶνας] *πόλις ἐν Θετταλίᾳ* (Harpocr.). The subject here referred to does not seem to be mentioned elsewhere.

τὰ . . εἰλήφει] "had made himself master of Oreus:" cf. 6. 7, *κύριος . . τῶν ἐν Φ. πραγμάτων.* 1. 21; 9. 12, 33.

§ 10. **Φεράς**] 9. 12.

ἐπ' Ἀμβρ.] 9. 27, 72.

τὰς . . σφαγάς] 9. 27.

ἄλλα μ.] 9. 39.

ἐξαριθμήσωμαι] The word is used by Dem. only in the active voice, 27. 58 and 52. 7. "give a complete (*ἐξ*) catalogue of."

στήσεται] 4. 43; infr. 36. "will not desist from wronging all people or reducing them under his power, unless some one interferes to stop him."

πάντας . . ἀδικῶν] from 9. 6, 35. *τὰ μέν* omitted, as *οἱ μέν* in § 3.

11. *Εἰσὶ δέ τινες οἳ πρὶν ἀκοῦσαι τοὺς ὑπὲρ τῶν πραγμάτων λόγους εὐθέως εἰώθασιν ἐρωτᾶν "τί οὖν χρὴ ποιεῖν;" οὐχ ἵνα ἀκούσαντες ποιήσωσι (χρησιμώτατοι γὰρ ἂν ἦσαν ἁπάντων) ἀλλ' ἵνα τοῦ λέγοντος ἀπαλλαγῶσιν. δεῖ δ' ὅμως εἰπεῖν ὅ τι χρὴ ποιεῖν. πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρήνην λέλυκε, καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ τῆς πόλεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει θεοῖς, οἵπερ αὐτὸν ἐξολέσειαν, 12. οὐδενὶ μέντοι μᾶλλον ἢ τῇ πολιτείᾳ πολεμεῖ οὐδ' ἐπιβουλεύει, καὶ σκοπεῖ μᾶλλον οὐδὲν τῶν πάντων ἢ πῶς ταύτην καταλύσει. καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τινὰ νῦν γε δὴ ποιεῖ· λογίζεσθε γάρ. ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς. ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτ' αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει χρῆσθαι, τούτοις ἅπαντα τἄλλα βεβαίως κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτίδαιαν προεῖτο, οὐδ' ἂν ἐν Μακεδονίᾳ μένειν ἀσφαλῶς ἐδύνατο. 13. ἀμφότερα οὖν οἶδε, καὶ αὐτὸν ὑμῖν ἐπιβουλεύοντα καὶ ὑμᾶς αἰσθανομένους. εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων μισεῖν αὐτὸν ἡγεῖται. πρὸς δὲ τούτοις τοσούτοις οὖσιν,*

§ 11.] §§ 11—16 are taken with some changes from the speech on the Chersonese, §§ 38—45.

πρὶν ἀκοῦσαι] "without waiting to hear the speeches about the subject of debate . ."

ἂν ἦσαν] if they did so listen "they would be the most serviceable of men." Madv. 117.

γνῶναι] "you must be firmly convinced of this in your minds, that . . and to its soil, nay, I will add, to the gods in it. May they destroy him!" For *τοῖς . . . θεοῖς* we have in 8. 40 *τοῖς ἐν τῇ πόλει πᾶσιν ἀνθρώποις.*

ἐδάφει] Ps. Dem. 26. 11, *τῆς πόλεως ὑπὲρ αὐτῶν τῶν ἐδάφων εἰς κίνδυνον . . κατακεκλειμένης.* Aesch. 3. 134, *ἤδη περὶ τοῦ τῆς πατρίδος ἐδάφους (ἀγωνίζεται).*

§ 12.] Much of this and part of the following section is taken almost verbatim from 6. §§ 17, 18. The eighth speech comes in again at *οἶδεν ἀκριβῶς.*

οὐδενί] neuter.

πῶς] Madv. 198 *b*; cf. 9. 75.

καὶ τοῦτ'] "and this he now at least is in a manner forced to do." 8. 41 has *καὶ τοῦτ' εἰκότως τρ. τινα πράττει*: cf. 6. 17. For *ἐν Μακεδονίᾳ* Dem. has *οἴκοι.*

§ 13. **πρὸς δέ**] "and in addition to these so important considerations . . . ; but should ever any reverse happen to him—and many may happen to the man . ." In 8, l. c. the remark is general—*ἃ πολλὰ γένοιτ' ἂν ἀνθρώπῳ.* Cobet, *Nov. Lect.* p. 605, says, "in cod. S scriptum est *γένοιτο ἀνθρώπῳ,* quae

οἶδεν ἀκριβῶς ὅτι οὐδ' ἂν ἁπάντων τῶν ἄλλων γένηται κύριος, οὐδὲν ἔστ' αὐτῷ βεβαίως ἔχειν ἕως ἂν ὑμεῖς δημοκρατῆσθε, ἀλλ' ἐάν ποτε συμβῇ τι πταῖσμα (πολλὰ δ' ἂν γένοιτο τἀνθρώπῳ), ἥξει πάντα τὰ νῦν βεβιασμένα καὶ καταφεύξεται πρὸς ὑμᾶς· 14. *ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες, ἀλλ' ἕτερον λαβεῖν κωλῦσαι καὶ ἔχοντ' ἀφελέσθαι καὶ ὅλως ἐνοχλῆσαι τοῖς ἄρχειν βουλομένοις καὶ πάντας ἀνθρώπους εἰς ἐλευθερίαν ἐξελέσθαι δεινοί. οὔκουν βούλεται τοῖς αὑτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, οὐ κακῶς οὐδ' ἀργῶς ταῦτα λογιζόμενος.* 15. *πρῶτον μὲν δὴ τοῦτο δεῖ, ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς δημοκρατίας ἀδιάλλακτον ἐκεῖνον, δεύτερον δὲ εἰδέναι σαφῶς ὅτι πάνθ' ὅσα πραγματεύεται καὶ κατασκευάζεται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν παρασκευάζεται. οὐ γὰρ οὕτως εὐήθης ὑμῶν ἐστιν οὐδεὶς ὥσθ' ὑπολαμβάνειν τὸν Φίλιππον τῶν*

non est vera lectio, sed verae proxima; legendum enim *γένοιτ' ἀνθρώπῳ.*" Dind. has *γένοιτο ἀνθρώπῳ*, a very improbable hiatus. In Bekker's reading, the words are, of course, a remark on the part of the speaker.

. **πάντα**] 1. 12; 4. 8. "all those who are now kept down by force will come and seek your protection," "take refuge with you." In 8. 41 we have the more forcible expression *τὰ νῦν συμβεβιασμένα*, i. e. the various elements of Philip's dominion had been brought into a *σύστημα*, and were kept so by force.

§ 14. **ἐστὲ . . . εὖ πεφ.**] 3. 33. "for it is not your nature yourselves to be grasping and to seize on dominion, but for preventing others from getting it, and taking it from them when they have it—in a word, for giving trouble to aspirants to empire and vindicating the liberty of all men, you are famous"—"you have a natural capacity." On *κατασχεῖν* see the excellent note of Mr. Shill., *de F. Leg.* § 165.

εἰς ἐλ. ἐξελέσθαι] Lys. 23. 9, *ὅτι εἴη αὐτῷ ἀδελφὸς ὃς ἐξαιρήσοιτο εἰς ἐλευθερίαν.* S has here **ἀφελέσθαι**, as Isocr. 12, § 97, *τοῖς παρὰ τῶν ἄλλων τοὺς οἰκέτας εἰς ἐλευθερίαν ἀφαιρουμένοις.* Harpocr., *ἀφαίρεσις ἰδίως λέγεται ἡ εἰς ἐλευθερίαν. Ὑπερίδης ἐν τῷ κατ' Ἀρισταγόρας.*

δεινοί] 1. 3.

τοῖς αὑτοῦ κ.] cf. 3. 7.

τὴν παρ' ὑ. ἐλ.] "a free spirit emanating from you," "your liberty:" 1. 12. Isaeus, 1. 39, *ἡ παρ' ὑμῶν αἰσχύνη.* Lyc. § 32, *ὁ . . παρὰ τῶν πολιτῶν φόβος.*

ἐφεδρεύειν] 3. 7: comp. Lys. 1. 49, *ὑπὸ τῶν νόμων ἐφεδρεύεσθαι.*

§ 15.] **τοῦτο** is explained by the following sentence: "In the first place then you must assume him to be . . . that all his present operations and schemes are directed against our city," "that in all his . . . he is making preparations for attacking . . ."

ὥσθ'] after *εὐηθής* instead of the *ὃς* of 8. 44.

μὲν ἐν Θρᾴκῃ κακῶν (τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάστειραν καὶ ἃ νῦν φασὶν αὐτὸν ἔχειν) τούτων μὲν ἐπιθυμεῖν καὶ ὑπὲρ τοῦ ταῦτα λαβεῖν καὶ πόνους καὶ χειμῶνας καὶ τοὺς ἐσχάτους κινδύνους ὑπομένειν, 16. *τῶν δ' Ἀθηναίων λιμένων καὶ νεωρίων καὶ τριήρων καὶ τῶν ἔργων τῶν ἀργυρείων καὶ τοσούτων προσόδων καὶ τόπου καὶ δόξης, ὧν μήτ' ἐκείνῳ μήτ' ἄλλῳ γένοιτο μηδενὶ χειρωσαμένῳ τὴν πόλιν τὴν ἡμετέραν κυριεῦσαι, οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα μὲν ὑμᾶς ἐάσειν ἔχειν, ὑπὲρ δὲ τῶν μελινῶν καὶ τῶν ὀλυρῶν τῶν ἐν τοῖς Θρᾳκίοις σιροῖς ἐν τῷ βαράθρῳ χειμάζειν.* 17. *οὐκ ἔστι ταῦτα, ἀλλὰ κἀκεῖνα ὑπὲρ τοῦ τούτων γίγνεσθαι κύριος καὶ τἆλλα πάντα πραγματεύεται. ταῦτα τοίνυν ἕκαστον εἰδότα καὶ γιγνώσκοντα παρ' αὑτῷ δεῖ μὰ Δί' οὐ γράψαι κελεύειν πόλεμον τὸν τὰ βέλτιστα ἐπὶ πᾶσι δικαίοις συμβουλεύοντα· τοῦτο μὲν γάρ ἐστι λαβεῖν ὅτῳ πολεμήσετε βουλομένων, οὐχ ἃ τῇ πόλει συμφέρει πράττειν.* 18. *ὁρᾶτε γάρ.*

τούτων μέν] on account of the parenthesis. "no one among you is so silly as to suppose that P. covets the miseries in T. . . . that I say he covets *these* . ." Observe the feeble **ἃ** *νῦν φασὶν αὐτὸν ἔχειν* in place of the **ἃ** *νῦν ἐξαιρεῖ καὶ κατασκευάζεται* of 8. 44.

§ 16. **τῶν ἔργων τῶν ἀργ.**] at Laurium. The words *καὶ τόπων καὶ δόξης* are not in 8. 45.

ὧν . . κυριεῦσαι] "but does not covet the harbours of Athens . . . (may neither he nor any one else become master of them by the subjugation of our city) . ."

κυριεῦσαι] an ingressive aorist: 1. 13.

σιροῖς] Varro, *de Re Rusticâ*, 1. 57 (quoted by Redh.), "Quidam granaria habent sub terris speluncas quas vocant *σιρούς*, ut in Cappadociâ et Thraciâ." "store-pits," Lord Brougham.

ἐν τῷ β.] Bekk. *Anecd.* p. 219, *βάραθρον Ἀθήνησι ἦν ὄρυγμά τι ἐν Κειριαδῶν δήμῳ τῆς Οἰνηΐδος φυλῆς, εἰς ὃ τοὺς ἐπὶ θανάτῳ καταγνωσθέντας ἐσέβαλον.* Called *ὄρυγμα* by Dein. *c. Dem.* § 62. Harpocr. s. v., *Δημοσθένης δὲ ἐν Φιλιππικοῖς οὐ κυρίως αὐτὸ λέγει ἀλλ' ἐκ μεταφορᾶς, οἷον ἐν τῷ ὀλέθρῳ.* "in the midst of horrors," Mr. K.

§ 17. **οὐκ . . ἀλλά**] "no! no! the object of these as of all his other . . ."

παρ' αὑτῷ] cf. § 11. "you ought not therefore, persuaded each of you and convinced of this in your own minds . ."

οὐ γράψαι] because this might expose him to danger: cf. 8. 68.

ἐπὶ π. δ.] "in all honesty." 8. 9, *εἴπερ ὡς ἀληθῶς ἐπὶ πᾶσι δ. ταῦτα συμβουλεύουσι.* 4. 51, *ἐπ' ἀδήλοις.*

ἐστι . . βουλομένων] "is the part of people who wish . .," "would indicate a wish on your part to get some one to fight with." Madv. 113, r. cf. § 19.

§ 18. **ὁρᾶτε γὰρ . . ἐ.**] supr. 12, *λογ. γάρ. ἄρχειν . . .* "only see: if for Philip's first violation of the

εἰ δι' ἃ πρῶτα παρεσπόνδησε Φίλιππος ἢ δεύτερα ἢ τρίτα (πολλὰ γάρ ἐστιν ἐφεξῆς) ἔγραψέ τις αὐτῷ πολεμεῖν, ὁ δ' ὁμοίως ὥσπερ νῦν, οὐ γράφοντος οὐδενὸς πόλεμον, Καρδιανοῖς ἐβοήθει, οὐκ ἂν ἀνηρπασμένος ἦν ὁ γράψας καὶ διὰ τοῦτο πάντες ᾐτιῶντο Καρδιανοῖς βεβοηθηκέναι; 19. *μὴ τοίνυν ζητεῖτε ὅντινα, ἀνθ' ὧν Φίλιππος ἐξαμαρτάνει, μισήσετε καὶ τοῖς παρ' ἐκείνου μισθαρνοῦσι διασπάσασθαι παραβαλεῖτε· μηδ' αὐτοὶ χειροτονήσαντες πόλεμον βούλεσθε παρ' αὐτοῖς ἡμῖν ἐρίζειν εἰ δέον ἢ μὴ δέον ὑμᾶς τοῦτο πεποιηκέναι· ἀλλ' ὃν ἐκεῖνος πολεμεῖ τρόπον, τοῦτον μιμεῖσθε, τοῖς μὲν ἀμυνομένοις ἤδη χρήματα καὶ τἆλλα ὅσων δέονται διδόντες, αὐτοὶ δ' εἰσφέροντες, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατασκευαζόμενοι στράτευμα, τριήρεις ταχείας, ἵππους, ἱππαγωγούς, τἆλλα ὅσα εἰς πόλεμον,* 20. *ἐπεὶ νῦν γε γέλως ἐστὶν ὡς χρώμεθα τοῖς πράγμασι, καὶ Φίλιππον δ' ἂν αὐτὸν οὐδὲν ἄλλο οἶμαι μὰ τοὺς θεοὺς εὔξασθαι ποιεῖν τὴν πόλιν ἢ ταῦτα· ὑστερίζετε, ἀναλίσκετε, ὅτῳ παραδώσετε τὰ πράγ-*

treaty . . . for there is a long series of them, any one had made a motion to go to war with him, and he, just as he is now doing without any one having made such motion, had helped . . . would not the mover have been destroyed, as having provoked a war?" cf. 8. 57, 58. From *πρὶν ἂν ὥσπερ νῦν αὐτὰ παρῇ ·τὰ πρ.* (§ 29), and K. *ἐβοήθει*, the Schol. draws another argument in confirmation of his opinion that a despatch had been received announcing that P. was assisting the Cardians. The compiler of the speech is employing a passage from 8. 58, and evidently thinking only of the situation at that time.

ἀνηρπασμένος] 9. 47.

§ 19. **ζητεῖτε**] 3. 11.

δ. παραβαλεῖτε] "don't therefore look for a person to make a scapegoat of for Philip's offences, and fling to his hirelings to be torn in pieces." On the inf. see Don. 607 *a*; Madv. 153. cf. 5. 5, and 8. 20.

εἰ δ. ἢ μὴ δ.] "whether you ought or ought not to have done so." For the omission of the subst. verb comp. Hyper. *Fun. Or.* l. 205, *ἀλλ', εἰ δέον εἰπεῖν, καὶ μείζω*.

ὃν . . τρόπον] i. e. with acts of hostility, but without openly declaring war. cf. 9. 8.

τοῖς μὲν ἀμυνομένοις] 9. 20 and 73.

τἆλλα, *κ.τ.λ.*] "all the other requisites for a war." 9. 39, *τἆλλα πάνθ'*.

§ 20. **γέλως ἐστίν**] This sentence is from 4. 25.

ἂν . . εὔξασθαι] 8. 20. *ἢ ταῦτα ἃ νῦν ποιεῖτε· ὅτῳ π. τὰ πράγματα* [*ζητεῖτε*], *δυσχεραίνετε* . . . Bekk. The words *ἃ νῦν π.* he now omits, with S pr. m. and other MSS. Dind. retains them and reads *ζητεῖτε* with S m. sec. in mrg. If Bekker's present reading is retained we must understand it to mean "you raise difficulties about the person to whom you are to commit . ."

ἀναλίσκετε] "throw away mo-

ματα δυσχεραίνετε, ἀλλήλους αἰτιᾶσθε. ἀφ' ὅτου δὲ ταῦτα γίγνεται, ἐγὼ διδάξω, καὶ ὅπως παύσεται, λέξω. 21. *οὐδὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πραγμάτων ἐξ ἀρχῆς ἐνεστήσασθε οὐδὲ κατεσκευάσασθε ὀρθῶς, ἀλλὰ τὸ συμβαῖνον ἀεὶ διώκετε, εἶτ' ἐπειδὰν ὑστερίσητε παύεσθε· ἕτερον πάλιν ἐὰν συμβῇ τι, παρασκευάζεσθε καὶ θορυβεῖσθε.* 22. *τὸ δ' οὐχ οὕτως ἔχει· οὐκ ἔνεστι βοηθείαις χρωμένους οὐδὲν τῶν δεόντων ποτὲ πρᾶξαι, ἀλλὰ κατασκευάσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορίσαντας καὶ ταμίας καὶ δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν χρημάτων φυλακὴν ἀκριβεστάτην γενέσθαι οὕτω ποιήσαντας, τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβάνειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ, καὶ μηδεμίαν πρόφασιν τοῦ πλεῖν ἄλλοσε ἢ πράττειν ἄλλο τι τῷ στρατηγῷ καταλείπειν.* 23. *ἂν οὕτω ποιήσητε καὶ τοῦτο ἐθελήσητε ὡς ἀληθῶς, ἄγειν εἰρήνην δικαίαν καὶ μένειν ἐπὶ τῆς αὑτοῦ Φίλιππου*

ney." For **ἀφ' ὅτου** Dind. has **ἀφ' οὗ.**

§ 21. **ἐξ ἀρχῆς**] 4. 1.

ἐνεστήσασθε] 18. 193, *ὡς οὐ καλὰ καὶ τῆς πόλεως ἄξια πράγματα ἐνεστησάμην.* "in no instance have you set on foot or contrived your measures rightly in the beginning."

τὸ σ. ἀεὶ δ.] 4. 39. Observe the prominence of *ἕτερον.* 4. 29, *τοῦτ' ἂν γένηται.*

θορυβεῖσθε] 8. 11.

§ 22. **τὸ δ'**] "quum tamen . . ." Madv. 188, r. 7; Heind. *Theaet.* § 37. Pl. *Alcib.* 1, § 15, *τὸ δ' ὧδέ πως εἶχεν; Ἔμαθον ἐγώ* . ., and so frequently. Sometimes we have the fuller expression *τὸ δ' ἀληθές*, as *Rep.* 4. 443 D, *τὸ δέ γε ἀληθές, τοιοῦτον μέν τι ἦν . . ἡ δικαιοσύνη* . . Mr. K. conveys the sense very well by his translation, "but that is not the way of proceeding." The passage from *οὐκ ἔνεστι* to the end of § 27 is taken from 8. 47 sq.

βοηθείαις] 4. 32. "it is not possible as long as you employ hasty levies to accomplish any good result; you must organize a standing force . ."

ταμίας] 4. 33.

δημοσίους] "officials." 2. 19.

οὕτω π.] i. e. *τὴν φυλακήν.* "and take measures to secure the strictest care possible of your funds."

πρόφασιν] 4. 25.

πλεῖν] "sailing elsewhere (i. e. than to the seat of war, as Chares had done 4. 24; also 2. 28) on engaging in any other enterprise . ."

§ 23.] For **ἄν** Dem. l. c. has *κἄν.*

ὡς ἀληθῶς] "in earnest," 6. 10. note to *ὡς ἑτέρως.* The Zurich editors omit *ὡς* with S, which however has the word in 8. 47. If this reading could be adopted *καί* must be omitted before *μένειν*, as it is by S in 8. l. c., *ἀληθῶς* going with what follows.

μ. ἐπὶ τῆς αὑτοῦ] Thuc. 4. 118, *ἐπὶ τῆς αὑτῶν μένειν ἑκατέρους, ἔχοντας ἅπερ νῦν ἔχομεν.* "keep at home," "confine himself to his own country:" cf. 4. 9.

ἀναγκάσετε, ἢ πολεμήσετε ἐξ ἴσου· καὶ ἴσως ἄν, ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, ὥσπερ νῦν ὑμεῖς πυνθάνεσθε τί ποιεῖ Φίλιππος καὶ ποῖ πορεύεται, οὕτως ἂν ἐκεῖνος φροντίσαι ποῖ ποτε ἡ τῆς πόλεως ἀπῆρκε δύναμις καὶ ποῦ φανήσεται.

24. *Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς καὶ πόνων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ. ἀλλ' ἐὰν λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα γενησόμενα ἐὰν ταῦτα μὴ ἐθέλῃ ποιεῖν, εὑρήσει λυσιτελοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί τις ἐγγυητὴς ὑμῖν θεῶν (οὐ γὰρ ἀνθρώπων γε οὐδεὶς ἂν γένοιτο ἀξιόχρεως τηλικούτου πράγματος) ὡς ἐὰν ἄγηθ' ἡσυχίαν καὶ πάντα προῆσθε, οὐκ ἐπ' αὐτοὺς ὑμᾶς τελευτῶν ἐκεῖνος ἥξει,* 25. *αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ πάντας θεοὺς καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόντων τῇ πόλει καὶ πεπραγμένων τοῖς προγόνοις, τῆς ἰδίας ῥᾳθυμίας ἕνεκα τοὺς ἄλλους ἅπαντας Ἕλληνας εἰς δουλείαν προέσθαι, καὶ ἔγωγ' αὐτὸς μὲν τεθνάναι μᾶλλον ἂν ἢ ταῦτ' εἰρηκέναι βουλοίμην·* 26. *οὐ μὴν ἀλλ' εἴ τις ἄλλος λέγει καὶ ὑμᾶς πείθει, ἔστω, μὴ ἀμύνεσθε, ἅπαντα πρόεσθε. εἰ δὲ μηδενὶ τοῦτο δοκεῖ, τοὐναντίον δὲ πρόισμεν ἅπαντες, ὅτι ὅσῳ ἂν πλειόνων ἐάσωμεν ἐκεῖνον γενέσθαι κύριον, τοσούτῳ*

πυνθάνεσθε] "haec fortasse ex *De F. Leg.* (19. 288), *νῦν δ' ἤδη περιερχόμεθ' ἡμεῖς . . . ὠτακουστοῦντες . . ποῦ πάρεισι Φ., ζῇ ἢ τέθνηκεν.* Dobree, cf. 4. 10. "may be anxious to learn the destination of our force, and where it will make its appearance."

§ 24.] Sections 24—28 are taken almost verbatim from 8. 48—52.

δαπάνης πολλῆς . . εἶναι] Madv. 54 *b*. Dem. 8. 48 has *δ. μεγάλης*. "are affairs of . .," "will entail both great expense and trouble." For the form of argument comp. 2. 22.

καί in *καὶ μάλα* is *epitatic*. cf. 3. 2.

τὰ . . γ.] "what the consequences will be to us."

λυσιτελοῦν] Madv. 178 *a*. "that it is our interest."

εἰ μέν] "for if some god is surety to you (for certainly of men no one could be an adequate surety for a thing so important), that, if you keep quiet and sacrifice every thing, he will not attack yourselves at last, though it would be disgraceful . . and the antecedents of the city and the achievements . . to abandon the rest of the K. to subjection, and though I . ., still . .," *μέν* in both cases referring to *οὐ μὴν ἀλλ'*.

ἀξιόχρεως] Dem. 40. 61, *μάρτυρας ἀξιόχρεως*, "credible witnesses." Lat. "testis locuples." Pl. *Apol.* 38 B, *ἐγγυηταὶ δ' ὑμῖν ἔσονται τοῦ ἀργυρίου οὗτοι ἀξιόχρεῳ.* With *ὑπαρχ. τῇ πόλει* comp. with Redh. Dem. 60. 31, *δεῖν οὖν ἡγήσαντο ἢ ζῆν ἀξίως τῶν ὑπαρχόντων ἢ τεθνάναι καλῶς.* infr. 73.

χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρησόμεθα ἐχθρῷ, ποῖ ἀναδυόμεθα, ἢ τί μέλλομεν; ἢ πότε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δέοντα ποιεῖν ἐθελήσομεν; ὅταν νὴ Δί᾽ ἀναγκαῖον ᾖ. 27. *ἀλλ᾽ ἣν μὲν ἄν τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴποι, οὐ μόνον ἤδη πάρεστιν ἀλλὰ καὶ πάλαι παρελήλυθε, τὴν δὲ τῶν δούλων ἀπεύχεσθαι δήπου μὴ γενέσθαι δεῖ. διαφέρει δὲ τί; ὅτι ἐστὶν ἐλευθέρῳ μὲν ἀνθρώπῳ μεγίστη ἀνάγκη ἡ ὑπὲρ τῶν γιγνομένων αἰσχύνη, καὶ μείζω ταύτης οὐκ οἶδα ἥντινα ἂν εἴποι τις, δούλῳ δὲ πληγαὶ καὶ ὁ τοῦ σώματος αἰκισμός· ὃ μήτε γένοιτο οὔτε λέγειν ἄξιον.*

28. *Τὸ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ τοιαῦτα ὀκνηρῶς διακεῖσθαι, ἃ δεῖ τοῖς σώμασι καὶ ταῖς οὐσίαις λειτουργῆσαι ἕκαστον, ἐστὶ μὲν οὐκ ὀρθῶς ἔχον, οὐδὲ πολλοῦ δεῖ, οὐ μὴν ἀλλ᾽ ἔχει τινὰ πρόφασιν ὅμως· τὸ δὲ μηδ᾽ ὅσα ἀκοῦσαι δεῖ μηδ᾽ ὅσα βουλεύσασθαι προσήκει, μηδὲ ταῦτ᾽ ἐθέλειν ἀκούειν, τοῦτ᾽ ἤδη πᾶσαν ἐπιδέχεται κατηγορίαν.*

§ 26. **χρησόμεθα**] “shall find him.” 1. 9.

ποῖ ἀναδυόμεθα] “how long do we mean to hang back?” *ὅμοιοι τῷ ποῖ μενεῖς ῥᾴθυμος* (Soph. *El.* 958, where Wolff quotes Arist. *Lysistr.* 526, *ποῖ χρῆν ἀναμεῖναι*) *ἀντὶ τοῦ μέχρι τίνος.* Schol. *ἀπὸ μεταφορᾶς τῶν ὑποζυγίων τῶν ἀναδυομένων καὶ φευγόντων ὑποδῦναι τὸν ζυγόν.* Schol. ib. cf. 8. 77, *ἐὰν δὲ δέῃ τι ποιεῖν ἀναδυόμενοι.*

ὅταν νὴ Δί᾽] 4. 10, *ἐπειδὰν νὴ Δί᾽ ἀνάγκη ᾖ.*

§ 27. **ἣν . . . ἄν τις . . . . εἴποι**] “what one may call.” 9. 40, *ἂν κρίνοι.* On *μή* after *ἀπεύχομαι*, Madv. 210.

ἡ ὑπέρ] “shame for what is happening . .” 4. 10, *τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην.*

οὐκ οἶδα] “and I don’t know what greater could be named.”

ὃ μήτε γ. οὔτε] infr. 68, *οὔτ᾽ εἰμὶ μήτε γενοίμην.* 21. 209, *ὃ μὴ γένοιτο οὐδ᾽ ἔσται.* 25. 86, *οὔτε γὰρ ἔστι μήτε γένοιτο ταῦτα.* “a state of things which I pray may never be, and which is not fit to be mentioned.” Don. *Gr.* p. 553. With *οὔτε λ. ἄξιον* comp. 18. 195.

§ 28. **ἃ δεῖ**] “such public services as each is liable to in person and property.” *σώμασι,* i. e. by serving as a soldier. 16. 12, *καὶ χρήματ᾽ εἰσφέρειν καὶ τοῖς σώμασι κινδυνεύειν,* and 9. 40.

ἐστὶ . . ἔχον] cf. 2. 26.

οὐδὲ π. δεῖ] 9. 23.

πρόφασιν] “excuse.”

τὸ δέ] “but to be unwilling even to hear what it is necessary you should hear and proper you should consider . . to be unwilling to listen even to these things does indeed justify the strongest censure.” *ἤδη,* i. e. there we come to something which admits of no excuse, but is simply and purely *οὐκ ὀρθῶς ἔχον*: cf. 19. 19. So *οὐκέτι* in negative sentences. *Jam* is similarly used in Latin: cf. Lucr. 1. 426, with Mr. Munro’s note.

ἐπιδέχεται] Aesch. 1. 48, *ὥστε μὴ ἐπιδέχεσθαι* [illegible] *αἰτίας* [illegible]

29. *ὑμεῖς τοίνυν οὐκ ἀκούειν πρὶν ἂν ὥσπερ νῦν αὐτὰ παρῇ τὰ πράγματα, οὐδὲ βουλεύεσθαι περὶ οὐδενὸς εἰώθατε ἐφ' ἡσυχίας· ἀλλ' ὅταν μὲν ἐκεῖνος παρασκευάζηται, ἀμελήσαντες τοῦ ποιεῖν ταὐτὸ καὶ ἀντιπαρασκευάζεσθαι ῥαθυμεῖτε, καὶ ἐάν τι λέγῃ τις, ἐκβάλλετε, ἐπειδὰν δ' ἀπολωλὸς ἢ πολιορκούμενόν τι πύθησθε, ἀκροᾶσθε καὶ παρασκευάζεσθε.* 30. *ἦν δ' ἀκηκοέναι μὲν καὶ βεβουλεῦσθαι τότε καιρὸς ὅθ' ὑμεῖς οὐκ ἠθέλετε, πράττειν δὲ καὶ χρῆσθαι τοῖς παρεσκευασμένοις νῦν, ἡνίκ' ἀκούετε. τοιγαροῦν ἐκ τῶν τοιούτων ἐθῶν μόνοι τῶν πάντων ἀνθρώπων ὑμεῖς τοῖς ἄλλοις τοὐναντίον ποιεῖτε· οἱ μὲν γὰρ ἄλλοι πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι, ὑμεῖς δὲ μετὰ τὰ πράγματα.*

31. *Ὃ δὴ λοιπόν ἐστι, καὶ πάλαι μὲν ἔδει, διαφεύγει δ' οὐδὲ νῦν, τοῦτ' ἐρῶ. οὐδενὸς τῶν πάντων οὕτως ὡς χρημάτων δεῖ τῇ πόλει πρὸς τὰ νῦν ἐπιόντα πράγματα. συμβέβηκε δ' εὐτυχήματα ἀπὸ ταὐτομάτου, οἷς ἂν χρησώμεθα*

§ 29. **αὐτά**] "actually."

The phrase **ἐφ' ἡσυχίας** seems only to occur once in the genuine speeches of Dem.: 45. 14, *ὅσοις δὲ τούτων μηδέν, λογισμὸς δ' ἐφ' ἡσυχίας τοῦ συμφέροντος.* Elsewhere we have *μεθ' ἡσυχίας*, 8. 13, or *καθ' ἡσυχίαν*, 8. 12, or *ἐν ἡσυχίᾳ*. We find *ἐφ' ἡσυχίας* again in Ps. Dem. 13. 8, *ἐπὶ πολλῆς μὲν ἡσυχίας καὶ ἠρεμίας ὑμῶν.*

ἐκβάλλετε] 9. 56. Isocr. 8. 3, *εἰώθατε πάντας τοὺς ἄλλους ἐκβάλλειν πλὴν τοὺς συναγορεύοντας ταῖς ὑμετέραις ἐπιθυμίαις.* Aristoph. (*Eq.* 525) says of the poet Magnes, *ἐξεβλήθη πρεσβύτης ὤν.*

ἐπειδὰν . . . παρασκευάζεσθε] cf. 8. 11.

§ 30. **ἀκηκοέναι**] "but the proper time to have heard and taken your resolution was when . . ." cf. 4. 19.

ἐκ] "in consequence of:" 6. 27.

μόνοι τῶν πάντων] "you, unlike every one else, exactly reverse the practice of other people. They . ." "you, singular in the practice, reverse the course usually followed. Every other people . ." 20. 62, *εἴ τινες μόνοι τῶν ἄλλων μετοίκων μὴ χορηγοῖεν.* 23. 185, *οὗτος εἷς ἁπάντων τῶν ἄλλων μόνος.* The words *οἱ μὲν . . πράγματα* are taken from 5. 2, where however after *ἄλλοι* we find *πάντες ἄνθρωποι.*

§ 31. **Ὃ δὴ λοιπόν**, *κ.τ.λ.*] i. e. the applying to Persia for assistance.

διαφεύγει] Aesch. 3. 249, *τῆς δημοκρατίας ἐπιμελήθητε ἤδη διαφευγούσης ὑμᾶς*—"which though it ought to have been done long ago, is not even yet slipping from your hands," "is not even yet too late." Mr. K. Redh. takes it in the sense of "slipping from the memory," as in Isocr. 4. 187, *πολλά με διαπέφευγεν ὧν διενοήθην.* But both *ἔδει* and *διαφεύγει* refer to *ὃ λ. ἐστι*, the course left for them deliberating now, as ever, *μετὰ τὰ πράγματα.*

ἀπὸ ταὐτομάτου] S has *εὐτύχημα ἀπ' αὐτομάτου.* Accordingly the Zurich editors read *ἀπ' αὐτομάτου*, though the article cannot possibly be dispensed with, as it might be

ὀρθῶς, ἴσως ἂν γένοιτο τὰ δέοντα. πρῶτον μὲν γάρ. οὓς βασιλεὺς πιστεύει καὶ εὐεργέτας ὑπείληφεν αὐτοῦ, οὗτοι μισοῦσι καὶ πολεμοῦσι Φιλίππῳ. 32. ἐπειθ' ὁ πράττων καὶ συνειδὼς ἅπανθ' ὅσα Φίλιππος κατὰ βασιλέως παρασκευάζεται, οὗτος ἀνάσπαστος γέγονε, καὶ πάσας τὰς πράξεις βασιλεὺς οὐχ ἡμῶν κατηγορούντων ἀκούσεται, οὓς ὑπὲρ τοῦ συμφέροντος ἂν ἡγήσαιτο τοῦ ἰδίου λέγειν, ἀλλὰ τοῦ πράξαντος αὐτοῦ καὶ διοικοῦντος, ὥστ' εἶναι πιστάς, καὶ λοιπὸν λόγον εἶναι τοῖς παρ' ἡμῶν πρέσβεσιν ὃν βασιλεὺς ἥδιστα ἂν ἀκοῦσαι, 33. ὡς τὸν ἀμφοτέρους ἀδικοῦντα κοινῇ τιμωρήσασθαι δεῖ, καὶ ὅτι πολὺ τῷ βασιλεῖ φοβερώτερος ἔσθ' ὁ Φίλιππος ἂν προτέροις ἡμῖν ἐπιθῆται· εἰ γὰρ ἐγκαταλειπόμενοί τι πεισόμεθα ἡμεῖς, ἀδεῶς ἐπ' ἐκεῖνον ἤδη πορεύσεται. ὑπὲρ δὴ τούτων ἁπάντων οἴομαι δεῖν ὑμᾶς πρεσβείαν ἐκπέμπειν ἥτις τῷ βασιλεῖ διαλέξεται, καὶ τὴν ἀβελτερίαν

with *τύχῃ*, the nom. being *τὸ αὐτόματον*. This will be clear from Arist. p. 195, *b* 31, *πολλὰ καὶ εἶναι [λέγεται] καὶ γίνεσθαι διὰ τύχην καὶ διὰ τὸ αὐτόματον.* "have happened providentially, by a right employment of which . ." For the constr., 3. 33, *ἐὰν . . χρήσησθε, ἴσως ἂν . . κτήσαισθε.*

καὶ (οὓς) εὐεργέτας] see note 3. 24. The Thracians are supposed to be meant, who for services rendered to Darius when returning from his invasion of Scythia, were regarded as benefactors of Persia. But could the king on any supposition be said *πιστεύειν* Teres and the Odrysae? Böhnecke is more probably right in referring the passage to Mentor and Memnon (Thirl. 6. 143; Grote, 11. 609), though in this case *πολεμοῦσι* can hardly be understood strictly—at least there is no direct evidence of the fact.

Φιλίππῳ] Bekk. and Dind.; Vöm. and the Zur. editors *Φίλιππον* from S. The acc. might legitimately stand here, the case being accommodated to *μισοῦσι*, as Lys. 6. 32, *ἐπιτιμᾷ καὶ ἀποδοκιμάζει τῶν ἀρχόντων τισί.* But we also find passages where *πολεμεῖν* standing alone takes the acc., as 23. 165, *μῆνας ἑπτὰ διήγαγεν ἡμᾶς πολεμῶν.*

§ 32. **ὁ πράττων**] "the person who conducted and was in the secret of . ." The allusion is to Hermias, the despot of Atarneus and friend of Aristotle, who married his sister. cf. Grote, l. c.

ἀνάσπαστος] a word often used by Herod. of the inhabitants of cities carried off into farther Asia. Here of Hermias, who was seized by Mentor and sent up to Susa, where he was put to death.

καὶ πάσας] "and the king will hear of all the intrigues . . whom he might conceive to be speaking . . (Thuc. 1. 68, *τῶν λεγόντων . . . ὑπενοεῖτε ὡς ἕνεκεν τῶν αὐτοῖς ἰδίᾳ διαφόρων λέγουσι*), but from the very person who conducted and managed them; so that the charges will be credible, and the only argument left for our a. will be one which . ."

§ 33. **τι πεισόμεθα**] 9. 20.

διαλέξεται] 2. 6: for the fut. ind. 1. 2, *ἐρεῖ.*

ἀποθέσθαι δι' ἣν πολλάκις ἡλαττώθητε, "ὁ δὴ βάρβαρος" καὶ "ὁ κοινὸς ἅπασιν ἐχθρός" καὶ πάντα τὰ τοιαῦτα. 34. *ἐγὼ γὰρ ὅταν τιν' ἴδω τὸν μὲν ἐν Σούσοις καὶ Ἐκβατάνοις δεδοικότα καὶ κακόνουν εἶναι τῇ πόλει φάσκοντα, ὃς καὶ πρότερον συνεπηνώρθωσε τὰ τῆς πόλεως πράγματα καὶ νῦν ἐπηγγέλλετο (εἰ δὲ μὴ ἐδέχεσθ' ὑμεῖς ἀλλ' ἀπεψηφίζεσθε, οὐ τὰ ἐκείνου αἴτια), ὑπὲρ δὲ τοῦ ἐπὶ ταῖς θύραις ἐγγὺς οὑτωσὶ ἐν μέσῃ τῇ Ἑλλάδι αὐξανομένου λῃστοῦ τῶν Ἑλλήνων ἄλλο τι λέγοντα, θαυμάζω, καὶ δέδοικα τοῦτον, ὅστις ἂν ᾖ ποτ', ἔγωγ', ἐπειδὴ οὐχ οὗτος Φίλιππον.*

35. *Ἔστι τοίνυν τι πρᾶγμα καὶ ἄλλο, ὃ λυμαίνεται τὴν πόλιν ὑπὸ βλασφημίας ἀδίκου καὶ λόγων οὐ προσηκόντων διαβεβλημένον, εἶτα τοῖς μηδὲν τῶν ἐν τῇ πολιτείᾳ δικαίων βουλομένοις ποιεῖν πρόφασιν παρέχει· καὶ πάντων ὅσα ἐκλείπει, δέον παρά του γίγνεσθαι, ἐπὶ τοῦθ' εὑρήσετε τὴν αἰτίαν ἀναφερομένην. περὶ οὗ πάνυ μὲν φοβοῦμαι, οὐ μὴν ἀλλ' ἐρῶ·* 36. *οἶμαι γὰρ ἕξειν καὶ ὑπὲρ τῶν ἀπόρων τὰ δίκαια ἐπὶ τῷ συμφέροντι τῆς πόλεως εἰπεῖν πρὸς τοὺς*

ὁ δὴ β.] Schäf. says, "sine cunctatione scribendum *ὁ δὲ βάρβαρος*. Et videtur *δέ* in ipso *καί* latere. Cf. **21.** 209, *τὸν δὲ βάσκανον . . τὸν δὲ ὄλεθρον*." There is no need for any change. *δή* is due to the speaker, and is ironical. Pl. *Apol.* 27 A, *ἆρα γνώσεται Σωκράτης, ὁ σοφὸς δή*. "the barbarian forsooth!" and "the common enemy of Hellas," and the like.

§ 34. **πρότερον**] i. e. in the time of Conon, B.C. 393. "helped to re-establish the fortunes of our city, and lately offered to do so."

τὰ ἐκείνου] Bekk. st. with S.

τὰ ἐ.] Bekk. st. "the fault was not his." But Dind. is, I think, right in retaining *γε* in his last edition, in spite of the authority of MS. S.

λῃστοῦ] "but holds different language of him who close to our doors is thus growing up in the midst of Hellas as a robber of . . ." cf. **6.** 6. With *λῃστοῦ* comp. **9.** 22.

ἔγωγ'] "and fear him, whoever he is, myself, because he . ."

§ 35. **Ἔστι τοίνυν**] cf. **9.** 47. It seems vain to attempt to reconcile the view here taken of the Theoric Fund with that put forward in the Olynthiac Orations, or with the tone and spirit of the attack in **3.** 21 sq. on the policy of Eubulus and his party, by whom the Fund was upheld. The discrepancy has justly furnished critics with one of their strongest arguments against the genuineness of the speech.

διαβεβλημένον] "in invidiam vocata." "the attacking of which."

εἶτα] "and so." **1.** 12.

τῶν . . δ.] "public duties."

καὶ πάντων] "and you will find that the reason of every failure on the part of any citizen to do his duty is still referred to this,"—this is the standing excuse.

δέον] Madv. 182: cf. **3.** 18.

§ 36. **τὰ δ. . . εἰπεῖν**] "make out a case for the advantage."

εὐπόρους καὶ ὑπὲρ τῶν κεκτημένων τὰς οὐσίας πρὸς τοὺς ἐπιδεεῖς, εἰ ἀνέλοιμεν ἐκ μέσου καὶ τὰς βλασφημίας ἃς ἐπὶ τῷ θεωρικῷ ποιοῦνταί τινες οὐχὶ δικαίως, καὶ τὸν φόβον ὡς οὐ στήσεται τοῦτο ἄνευ μεγάλου τινὸς κακοῦ· οὗ οὐδὲν ἂν εἰς τὰ πράγματα μεῖζον εἰσενεγκαίμεθα, οὐδ' ὅ τι κοινῇ μᾶλλον ἂν ὅλην ἐπιρρώσειε τὴν πόλιν. 37. *οὑτωσὶ δὲ σκοπεῖτε· ἐρῶ δ' ὑπὲρ τῶν ἐν χρείᾳ δοκούντων εἶναι πρότερον. ἦν ποτ' οὐ πάλαι παρ' ἡμῖν ὅτ' οὐ προσῄει τῇ πόλει τάλαντα ὑπὲρ τριάκοντα καὶ ἑκατόν· καὶ οὐδείς ἐστι τῶν τριηραρχεῖν δυναμένων οὐδὲ τῶν εἰσφέρειν ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἐφ' ἑαυτὸν ποιεῖν ὅτι χρήματα οὐ περιῆν, ἀλλὰ καὶ τριήρεις ἔπλεον καὶ χρήματα ἐγίγνετο καὶ πάντα ἐποιοῦμεν τὰ δέοντα.* 38. *μετὰ ταῦτα ἡ τύχη, καλῶς ποιοῦσα, πολλὰ πεποίηκε τὰ κοινά, καὶ τετρακόσια ἀντὶ τῶν ἑκατὸν ταλάντων προσέρχεται, οὐδενὸς οὐδὲν ζημιουμένου τῶν τὰς οὐσίας ἐχόντων, ἀλλὰ καὶ προσλαμβάνοντος· οἱ γὰρ εὔποροι πάντες ἔρχονται*

κ. τὰς οὐσίας] cf. § 38. Lys. 29. 4, *δεινὸν εἰ οἱ μὲν τὰς οὐσίας ἔχοντες ὀλοφυροῦνται τριηραρχοῦντες.* Isocr. 6. 67. Thuc. 1. 7, *οἱ τὰ μείζω κεκτημένοι.* "people of property."

εἰ ἀνέλοιμεν] "could we remove out of the way (clear away) both the abuse which some direct against . . ., and the fear expressed that it (i. e. the Theoric Fund) cannot stand (be maintained) without . . ." With *φ. ὡς στήσεται* comp. 14. 25, *οἱ λέγοντες φοβοῖεν ὡς ἥξει βασιλεύς*: Soph. *El.* 1426.

στήσεται] 4. 43; supr. 10.

οὗ, κ.τ.λ.] "no greater service to our affairs could we contribute, or one more likely to strengthen the whole commonwealth (i. e. than removing the dissatisfaction about the Theoric Fund)."

§ 37. **ἦν**] "there was a time, not long ago (cf. 4. 3, *ἐξ οὗ χρόνος οὐ πολύς*), when there did not come in to the state . . (when our yearly revenue was . .)."

προσῄει] in the next section *προσέρχεται*: Thuc. 2. 13, *προσιόντων.* See Böckh's remarks on this passage in his *Publ. Econ.* bk. 3, c. 19.

οὐκ ἠξίου] "demurred to perform," "claimed to be exempt from." The *οὐ* is to be explained by the note to 6. 33.

τὰ κ.] "the duties that devolved on him because there was not a surplus." Xen. *Cyrop.* 1. 2. 5, *ὅπως καὶ οὗτοι τὰ καθήκοντα ἀποτελῶσιν.* The word gained greater currency afterwards as a term of the Stoical Ethics. Cf. Ritter and Preller, § 404.

ἐγίγνετο] "was forthcoming." Mr. K.

§ 38. **καλῶς π.**] 1. 28. "happily."

τῶν ἑκατόν] i. e. the 130 talents mentioned in § 37.

προσλ.] absolutely, "gaining."

μεθέξοντες τούτου, καὶ καλῶς ποιοῦσιν. 39. *τι οὖν μαθόντες τοῦτο ὀνειδίζομεν ἀλλήλοις καὶ προφάσει χρώμεθα τοῦ μηδὲν ποιεῖν, πλὴν εἰ τῇ παρὰ τῆς τύχης βοηθείᾳ γεγονυίᾳ τοῖς ἀπόροις φθονοῦμεν; οὓς οὔτ' ἂν αἰτιασαίμην ἔγωγε οὔτ' ἀξιῶ.* 40. *οὐδὲ γὰρ ἐν ταῖς ἰδίαις οἰκίαις ὁρῶ τὸν ἐν ἡλικίᾳ πρὸς τοὺς πρεσβυτέρους οὕτω διακείμενον οὐδ' οὕτως ἀγνώμονα οὐδ' ἄτοπον τῶν ὄντων οὐδένα ὥστε, εἰ μὴ ποιήσουσιν ἅπαντες ὅσ' ἂν αὐτός, οὐ φάσκοντα ποιήσειν οὐδὲν οὐδ' αὐτόν· καὶ γὰρ ἂν τοῖς τῆς κακώσεως εἴη νόμοις οὗτός γε ἔνοχος· δεῖ γάρ, οἶμαι, τοῖς γονεῦσι τὸν ὡρισμένον ἐξ ἀμφοτέρων ἔρανον, καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τοῦ νόμου, δικαίως φέρειν καὶ ἑκόντα ὑποτελεῖν.* 41. *ὥσπερ τοίνυν ἑνὸς ἡμῶν ἑκάστου τίς ἐστι γονεύς, οὕτω συμπάσης τῆς*

τούτου] i. e. the surplus, the Theoric Fund.

κ. ποιοῦσιν] "as they have perfect right." 21. 212, *εἰσὶ .... εἰς τὰ μάλιστα αὐτοὶ πλούσιοι καὶ καλῶς ποιοῦσι*, where see Spalding's note.

§ 39. **τί .. μαθόντες**] Madv. 176 *b*, r.; Don. p. 382. "what then makes us reproach one another with this, and employ it as an excuse for ..?"

πλὴν εἰ] 3. 18. *μή*, which Bekk. had after *εἰ*, he now omits with S.

φθονῶ has here a dat. of the thing, as in Isocr. 8. 124, *οὐκ ἀγανακτοῦμεν, οὐδὲ φθονοῦμεν ταῖς εὐπραγίαις αὐτῶν.* Id. 5. 131. "unless we grudge the relief which has been given by fortune to the needy."

οὔτ' ἀξιῶ] "nor do I think it right." sc. *αἰτιάσασθαι.* 8. 46, *χρήματα δ' εἰσφέρειν καὶ τοὺς συμμάχους ἀξιοῦν.* 19. 98, and ib., *ἀφίημι Αἰσχίνην καὶ ὑμᾶς συμβουλεύω.*

§ 40. **ὥστε ... οὐ φάσκοντα**] a not uncommon syntax: cf. 3. 1. Redh. quotes Isae. 9. 16, *ἐπιδείξω .. οὕτω σφόδρα .. μισοῦντα τοῦτον, ὥστε πολὺ δὴ θᾶττον διατιθέμενον.* "for neither in private families do I find the grown-up son behaving so .. or any one in the world so wanting in right feeling or so unreasonable as to declare that unless all will do just what he does, he will do nothing himself." **τῶν ὄντων**, sc. *ἀνθρώπων.* So Whiston, who yet tr. "consistent with his position."

τῆς κακώσεως] cf. *Gr. and Rom. Ant.* The *ἀγών* being *τιμητός*, the penalty might be fixed at death: cf. Lys. 13, 91.

ἔρανον] "for a man ought, I take it, to bring dutifully to his p. the contribution assigned both by nature and by the law, and pay it cheerfully." On the *Ἔρανος* in general see Böckh, *Publ. Econ.* p. 345, Engl. Tr.; *Gr. and Rom. Ant.* s. v.; cf. Ps. Dem. 25. 21; 21. 101, with Buttmann's note.

§ 41. **ἑνὸς .. τίς**] "as then each of us has a parent, so ought we to look upon the collective people as the common parent of the state (and therefore entitled to all due maintenance), and so far from depriving them of any part of what the state gives them, we ought, if even there were none of these resources, to look out for other means of preventing .."

πόλεως κοινοὺς δεῖ γονέας τοὺς σύμπαντας ἡγεῖσθαι, καὶ προσήκει τούτους οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφελέσθαι τι, ἀλλ' εἰ καὶ μηδὲν ἦν τούτων, ἄλλοθεν σκοπεῖν ὅπως μηδενὸς ὄντες ἐνδεεῖς περιοφθήσονται. 42. τοὺς μὲν τοίνυν εὐπόρους ταύτῃ χρωμένους τῇ γνώμῃ οὐ μόνον ἡγοῦμαι τὰ δίκαια ποιεῖν ἄν, ἀλλὰ καὶ τὰ λυσιτελῆ· τὸ γὰρ τῶν ἀναγκαίων τινὰ ἀποστερεῖν κοινῇ κακόνους ἐστὶ ποιεῖν πολλοὺς ἀνθρώπους τοῖς πράγμασιν· τοῖς δ' ἐν ἐνδείᾳ, δι' ὃ δυσχεραίνουσι τὸ πρᾶγμα οἱ τὰς οὐσίας ἔχοντες καὶ κατηγοροῦσι δικαίως, τοῦτ' ἀφελεῖν ἂν συμβουλεύσαιμι. 43. δίειμι δέ, ὥσπερ ἄρτι, τὸν αὐτὸν τρόπον καὶ ὑπὲρ τῶν εὐπόρων, οὐ κατοκνήσας εἰπεῖν τἀληθῆ. ἐμοὶ γὰρ οὐδεὶς οὕτως ἄθλιος οὐδ' ὠμὸς εἶναι δοκεῖ τὴν γνώμην, οὔκουν Ἀθηναίων γε, ὥστε λυπεῖσθαι ταῦτα λαμβάνοντας ὁρῶν τοὺς ἀπόρους καὶ τῶν ἀναγκαίων ἐνδεεῖς ὄντας. 44. ἀλλὰ ποῦ συντρίβεται τὸ πρᾶγμα καὶ ποῦ δυσχεραίνεται; ὅταν τὸ ἀπὸ τῶν κοινῶν ἔθος ἐπὶ τὰ

οὐχ ὅπως . . . ἀλλ'] cf. 6. 9.

§ 42. **χρ. τῇ γν.**] 4. 6.

ποιεῖν ἄν] Bekk. He now omits **ἄν** with S, and so Dind. It seems to be required by the argument,—"the wealthy then (as the result of the preceding argument) if they adopt this principle will, I think, not only do what is . ." Bekker's present reading can only mean "in adopting . . are doing . ." But this was just what he was urging them to do. I therefore retain **ἄν**.

κοινῇ] Mr. K. well tr. "is to unite them in disaffection to the commonwealth."

δι' ὅ] "which makes."

§ 43. **δίειμι**] "state the case in the same way on behalf of . ."

ἄθλιος] 3. 21. "such a wretch, or so hardhearted."

οὔκουν . . γε] "at any rate among ourselves." Soph. *Phil.* 907, *οὔκουν ἐν οἷς γε δρᾷς*. *Ant.* 992.

τοὺς ἀ. καί] a description of one and the same class. "the needy, who are in want of the necessaries of life."

§ 44. **ποῦ συντρίβεται**] "what is it in the thing that gives offence?" "where lies the grievance?" "Simile ductum de curribus in stadio currentibus, ad metam adhaerentibus, aut inter se complicatis eoque confractis." Reiske.

ὅταν τό] "when they see persons transferring the practice followed in regard to the public funds to private." The next section determines the sense of the passage. The rich were discontented on account of the confiscation to which their property was at any moment liable (cf. Böckh, *Publ. Econ.* bk. 3, c. 14). *τὸν λέγοντα* is then the popular speaker who, in the interest of the people as he professed, proposed such appropriation of the estates of the rich, and was a favourite accordingly. Cf. 8. 69, *ὅστις μὲν . . . παριδὼν ἃ συνοίσει τῇ πόλει, κρίνει δημεύει, δίδωσι κατηγορεῖ . . .* Schäf. understands *τὸν λέγοντα* to mean the "dives coram populo causam agens."

ἴδια μεταβιβάζοντας ὁρῶσί τινας, καὶ μέγαν μὲν ὄντα παρ' ὑμῖν εὐθέως τὸν λέγοντα, ἀθάνατον δ' ἕνεκ' ἀσφαλείας, ἑτέραν δὲ τὴν κρύβδην ψῆφον τοῦ φανερῶς θορύβου. 45. ταῦτ' ἀπιστίαν, ταῦτ' ὀργὴν ἔχει. δεῖ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως ἀλλήλοις τῆς πολιτείας κοινωνεῖν, τοὺς μὲν εὐπόρους εἰς μὲν τὸν βίον τὸν ἑαυτῶν ἀσφαλῶς ἔχειν νομίζοντας καὶ ὑπὲρ τούτων μὴ δεδοικότας, εἰς δὲ τοὺς κινδύνους κοινὰ ὑπὲρ τῆς σωτηρίας τὰ ὄντα τῇ πατρίδι παρέχοντας, τοὺς δὲ λοιποὺς τὰ μὲν κοινὰ κοινὰ νομίζοντας καὶ μετέχοντας τὸ μέρος, τὰ δὲ ἑκάστου ἴδια τοῦ κεκτημένου. οὕτω καὶ μικρὰ πόλις μεγάλη γίγνεται καὶ μεγάλη σώζεται. ὡς μὲν οὖν εἴποι τις ἄν, ἃ παρ' ἑκατέρων εἶναι δεῖ, ταῦτ' ἴσως ἐστίν· ὡς δὲ καὶ γένοιτ' ἂν ἐν νόμῳ, διορθώσασθαι δεῖ.

46. Τῶν δὲ παρόντων πραγμάτων καὶ τῆς ταραχῆς πολλὰ πόρρωθέν ἐστι τὰ αἴτια· ἃ εἰ βουλομένοις ὑμῖν ἀκούειν ἐστίν,

ἕνεκ' ἀσφ.] 3. 14.

ἑτέραν] "contradicts your openly expressed applause," which last words Schäf. explains to mean, "plausum coronae manifestum, qui divitem causam agentem nihil non sperare jubeat, quam spem post frustretur ἡ κρύβδην ψῆφος." Dobree understands the passage otherwise: "quum videant suasorem gratiâ florere poenae securum, quippe qui judicum suffragiis absolvatur, etsi clamore condemnetur. Alludit ad παρανόμων γραφάς." But this does not seem to agree with the context.

§ 45. **ἔχει**] "breed," "produce." 2. 3; supr. 28; infr. 46.

δικαίως] cf. Don. *New Cratyl.* § 290.

τοὺς μέν, κ.τ.λ.] "the wealthy believing themselves secure in regard to their fortunes, and without apprehension on that score (τούτων referring in a general way to τὸν βίον, 2. 3), and yet in times of danger putting their property at the service of the state for . ." cf. 14. 25 sq.

κοινά] 2. 30.

μ. τὸ μέρος] "receiving their share." Madv. 37 *a*, note.

ἴδια] "and private property as (exclusively) belonging to its owner." Cic. *de Off.* 1. 7, "justitiae primum munus est . . . ut communibus pro communibus utatur, privatis ut suis."

ὡς . . . εἴποι τις ἄν] cf. 6. 3. The meaning is, "this is perhaps a fair statement of the duties of each class; measures should be taken for securing the performance of them under the provisions of a law."

ἐν] "according to," "in conformity with." Thuc. 1. 77. Pl. *Crit.* 121 B, ἐν τοῖς νόμοις βασιλεύειν. Pl. *Legg.* 9. 874 C, καθαρὸς ἔστω ἐν τῷ νόμῳ "lege."

§ 46. **πόρρωθεν**] "of long standing:" cf. § 1.

βουλομένοις . . ἐθέλω] 1. 1. On the dat. Madv. 38 *d*. "saepius dicitur κατ' ἔλλειψιν infinitivi (ἀκούειν)." Schäf. I rather think the full expression is the more common in Dem. Cf. 18. 11; 21. 130, and other passages collected by Weber, *Aristocr.* § 18.

ἐθέλω λέγειν. ἐξέστητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς ὑποθέσεως ἐφ' ἧς ὑμᾶς οἱ πρόγονοι κατέλιπον, καὶ τὸ μὲν προΐστασθαι τῶν Ἑλλήνων καὶ δύναμιν συνεστηκυῖαν ἔχοντας πᾶσι τοῖς ἀδικουμένοις βοηθεῖν περίεργον ἐπείσθητε εἶναι καὶ μάταιον ἀνάλωμα ὑπὸ τῶν ταῦτα πολιτευομένων, τὸ δ' ἐν ἡσυχίᾳ διάγειν καὶ μηδὲν τῶν δεόντων πράττειν, ἀλλὰ προϊεμένους καθ' ἓν ἕκαστον πάντα ἑτέρους ἐᾶσαι λαβεῖν, θαυμαστὴν εὐδαιμονίαν καὶ πολλὴν ἀσφάλειαν ἔχειν ᾤεσθε. 47. ἐκ δὲ τούτων παρελθὼν ἐπὶ τὴν τάξιν ἐφ' ἧς ὑμῖν τετάχθαι προσῆκεν ἕτερος, οὗτος εὐδαίμων καὶ μέγας καὶ πολλῶν κύριος γέγονεν, εἰκότως· πρᾶγμα γὰρ ἔντιμον καὶ μέγα καὶ λαμπρόν, καὶ περὶ οὗ πάντα τὸν χρόνον αἱ μέγισται τῶν πόλεων πρὸς αὑτὰς διεφέροντο, Λακεδαιμονίων μὲν ἠτυχηκότων, Θηβαίων δὲ ἀσχόλων διὰ τὸν Φωκικὸν πόλεμον γενομένων, ἡμῶν δὲ ἀμελούντων ἔρημον ἀνείλετο. 48. τοιγάρτοι τὸ μὲν φοβεῖσθαι τοῖς ἄλλοις, τὸ δὲ συμμάχους πολλοὺς ἔχειν καὶ δύναμιν μεγάλην ἐκείνῳ περιγέγονε, καὶ τοσαῦτα πράγματα καὶ τοιαῦτα ἤδη περιέστηκε τοὺς Ἕλληνας ἅπαντας ὥστε μηδ' ὅ τι χρὴ συμβουλεύειν εὔπορον εἶναι.

49. Ὄντων δ', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν παρόντων πραγμάτων, ὡς ἐγὼ κρίνω, φοβερῶν οὐδένες ἐν μείζονι κινδύνῳ τῶν

ὑποθέσεως] "the principle," the subjective side of the τάξις of the next section. S γρ. has τάξεως here.

προΐστασθαι] cf. 4. 3, note to προσηκόντως.

συνεστηκυῖαν] 8. 46. "standing."

ἐπείσθητε] "have let yourselves be persuaded."

τῶν ταῦτα π.] "by the politicians of these views," "of this school;" the party referred to in 3. 22 sq. With the expression comp. 3. 29.

καθ' ἓν ἕ.] "one after another." cf. 1. 14.

ἔχειν] "carries with it." supr. 44.

§ 47. **ἕτερος**] "but in consequence of these things another (a stranger) has stepped forward into the position you ought to have filled and become . ." cf. 8. 67.

καὶ περὶ οὗ] 9. 22, where however the subject is differently treated. The ἔντιμον καὶ μέγα καὶ λαμπρόν here is the honour of being the recognized προστάτης of Hellas, which Philip is here supposed to have gained at the end of the war, but which Dem. would never have admitted.

Λ. μὲν ἠτυχ., κ.τ.λ.] borrowed from 3. 27.

ἔρημον] "uncontested." 3, l. c.

§ 48. **περιγέγονε**] "the result to others is alarm, to himself the possession of many allies and great power; and difficulties so many and various encompass the Hellenes, that it is not even easy to know what advice to give."

§ 49. **οὐδένες**] 1. 19.

πάντων εἰσὶν ὑμῶν, οὐ μόνον τῷ μάλιστα ὑμῖν ἐπιβουλεύειν Φίλιππον, ἀλλὰ καὶ τῷ πάντων ἀργότατα αὐτοὶ διακεῖσθαι. εἰ τοίνυν τὸ τῶν ὠνίων πλῆθος ὁρῶντες καὶ τὴν εὐετηρίαν τὴν κατὰ τὴν ἀγοράν, τούτοις κεκήλησθε ὡς ἐν οὐδενὶ δεινῷ τῆς πόλεως οὔσης, οὔτε προσηκόντως οὔτ' ὀρθῶς τὸ πρᾶγμα κρίνετε· 50. *ἀγορὰν μὲν γὰρ ἄν τις καὶ πανήγυριν ἐκ τούτων ἢ φαύλως ἢ καλῶς κατεσκευάσθαι κρίνοι· πόλιν δ' ἣν ὑπείληφεν, ὃς ἂν τῶν Ἑλλήνων ἄρχειν ἀεὶ βούληται, μόνην ἂν ἐναντιωθῆναι καὶ τῆς πάντων ἐλευθερίας προστῆναι, οὐ μὰ Δί' ἐκ τῶν ὠνίων, εἰ καλῶς ἔχει, δοκιμάζειν δεῖ, ἀλλ' εἰ συμμάχων εὐνοίᾳ πιστεύει καὶ τοῖς ὅπλοις ἰσχύει, ταῦθ' ὑπὲρ τῆς πόλεως δεῖ σκοπεῖν· ἃ σφαλερῶς ὑμῖν καὶ οὐ καλῶς ἅπαντα ἔχει.* 51. *γνοίητε δ' ἄν, εἰ σκέψαισθε ἐκείνως. πότε μάλιστα ἐν ταραχῇ τὰ τῶν Ἑλλήνων γέγονε πράγματα; οὐδένα γὰρ χρόνον ἄλλον ἢ τὸν νυνὶ παρόντα οὐδ' ἂν εἷς εἴποι. τὸν μὲν γὰρ ἄλλον ἅπαντα εἰς δύο ταῦτα διῄρητο τὰ τῶν Ἑλλήνων, Λακεδαιμονίους καὶ ἡμᾶς, τῶν δ' ἄλλων Ἑλλήνων οἳ μὲν ἡμῖν οἳ δὲ ἐκείνοις ὑπήκουον. βασιλεὺς δὲ καθ' αὐτὸν μὲν ὁμοίως ἅπασιν ἄπιστος ἦν, τοὺς δὲ*

τῷ . . . ἐπιβ] supr. § 11 sq.

ἀργ. . . δ.] 6. 3.

τὸ . . πλῆθος] Benseler omits *τό* with S. The omission is obviously due to the following *τῶν*. The art. cannot be dispensed with.

εὐετηρίαν . . ἀγοράν] "pretiorum salubritatem." Reiske. cf. Thuc. 2. 38; Isocr. 4. 42, *ἐμπόριον γὰρ ἐν μέσῳ τῆς Ἑλλάδος τὸν Πειραιᾶ κατεσκευάσατο, τοσαύτην ἔχονθ' ὑπερβολήν, ὥσθ' ἃ παρὰ τῶν ἄλλων ἓν παρ' ἑκάστων χαλεπόν ἐστι λαβεῖν, ταῦθ' ἅπαντα παρ' αὐτῆς ῥᾴδιον εἶναι πορίσασθαι.*

κεκήλησθε ὡς] "have let yourselves be beguiled into thinking." Madv. 181, r. 2.

§ 50. **πανήγυριν**] "fair." cf. Bekker's *Charicles*, p. 227, Engl. tr.

πόλιν δ'] "but for a city which every successive aspirant to dominion over Hellas (9. 37) has deemed could alone oppose him, and stand forward in defence of the liberty of all, its prosperity assuredly ought not to be tested by the abundance of its market wares, but whether . . ., these, I say, are the questions one ought to consider in regard to such a city, and these . ." cf. 6. 10.

καὶ οὐ καλῶς ἅπαντα ἔχει] Bekk. st. from F Υ Ω; Bekk. *καὶ οὐδαμῶς ἅπαντα κ. ἔχει*, and so Vöm. and Dind. S pr. m. has *καὶ οὐδαμῶς ἅπαντα ἔχει*, obviously a distortion of the reading in F Υ Ω.

§ 51. **γνοίητε, κ.τ.λ**] Madv. 135.

οὐδένα γάρ] "certainly no one could name any other than . ."

εἰς δ. ταῦτα διῄρητο] S omits *εἰς δ. ταῦτα* and has *διῃρεῖτο*: it omits also *δ'* after *τῶν*. "was divided into the two parties of the L. and ourselves." Thuc. 1. 1; Id. 3. 82 init.

δύο ταῦτα] cf. § 4.

καθ' αὐτόν] "upon his own account."

κρατουμένους τῷ πολέμῳ προσλαμβάνων, ἄχρι οὗ τοῖς ἑτέροις ἐξ ἴσου ποιήσαι, διεπιστεύετο, ἔπειτ' οὐχ ἧττον αὐτὸν ἐμίσουν οὓς σώσειε τῶν ὑπαρχόντων ἐχθρῶν ἐξ ἀρχῆς. 52. νῦν δὲ πρῶτον μὲν βασιλεὺς ἅπασι τοῖς Ἕλλησιν οἰκείως ἔχει, καὶ πάντων δὴ ἥκιστα ἡμῖν, ἄν τι μὴ νῦν ἐπανορθωσώμεθα· ἔπειτα προστασίαι πολλαὶ καὶ πανταχόθεν γίγνονται, καὶ τοῦ πρωτεύειν ἀντιποιοῦνται μὲν πάντες, ἀφεστᾶσι δ' ἔνιοι καὶ φθονοῦσι καὶ ἀπιστοῦσιν ἑαυτοῖς, οὐχ ὡς ἔδει, καὶ γεγόνασι καθ' αὑτοὺς ἕκαστοι, Ἀργεῖοι Θηβαῖοι Λακεδαιμόνιοι Κορίνθιοι Ἀρκάδες ἡμεῖς. 53. ἀλλ' ὅμως εἰς τοσαῦτα μέρη καὶ τοσαύτας δυναστείας διῃρημένων τῶν Ἑλληνικῶν πραγμάτων, εἰ δεῖ τἀληθῆ μετὰ παρρησίας εἰπεῖν, τὰ παρ' οὐδέσι τούτων ἀρχεῖα καὶ βουλευτήρια ἐρημότερα ἄν τις ἴδοι τῶν Ἑλληνικῶν πραγμάτων ἢ τὰ παρ' ἡμῖν, εἰκότως· οὔτε γὰρ φιλῶν οὔτε πιστεύων οὔτε

προσλαμβάνων] "he used to take to him (take up the cause of) those who were getting worsted in war, and retain their confidence till he put them on an equality with . ."

ἄχρι οὗ . . π.] Madv. 114 *c*, r. 1. Vöm. and Benseler read *ἄχρις*, to avoid the hiatus.

οὓς σώσειε] 9. 45, *οὓς αἴσθοιντο.*

τῶν ὑ. ἐχ. ἐξ ἀρχῆς] Mr. K. inadvertently tr. "*his* original enemies." The meaning clearly is the "original enemies" of the parties succoured.

§ 52. **καὶ πάντων**] "exspectes *ἀλλὰ πάντων*. Sed Graeci scriptores enuntiationes negantes, quarum de genere nostra est, aientibus persaepe jungunt per copulativam *καί*." Schäf. The meaning is, "the king is on friendly terms with all the H. and therefore with us; but with us least of all, unless we do something to put things on a better footing." *καί* therefore may be tr. "though."

προστασίαι] Instead of Athens being acknowledged as the champion of Hellas, "protectorates are starting up in great numbers on all sides." On all sides states were aspiring *προΐστασθαι τῶν* 'Ε., but on condition that they had the hegemony. supr. 6, *οἱ μὲν ὑπὲρ τῆς ἡ. ἡμῖν ἀντιλέγουσιν.*

ἀφεστᾶσι] "have seceded," "hold themselves aloof."

ἑαυτοῖς] "one another." cf. 4. 10.

οὐχ ὡς ἔδει] "secus quam oportebat." 18. 271, *φοράν τινα τῶν πραγμάτων χαλεπὴν καὶ οὐχ οἵαν ἔδει.* On *οὐχ* cf. 3. 1; 4. 38, *ὡς οὐκ ἔδει.*

§ 53. **δυναστείας**, used in § 4 in a more strictly political sense, here as referring to the states just mentioned means "powers," "leaderships." cf. Isocr. 4. 22, where the word is used as = *ἡγεμονία.*

διῃρ. τῶν 'Ε. πρ.] "the politics of H.," or simply "Hellas:" cf. Thuc. 1. 110 in.

οὐδέσι] 1. 19. "there are none whose town-halls and council-chambers one would see more deserted by H. politics . ."

ἴδοι τῶν 'Ε. πρ.] cf. 18. 59; 3. 25.

φιλῶν] "from love."

φοβούμενος οὐδεὶς ἡμῖν διαλέγεται. 54. αἴτιον δὲ τούτων οὐχ ἕν, ὦ ἄνδρες Ἀθηναῖοι, (ῥᾴδιον γὰρ ἂν ἦν ὑμῖν μεταθεῖναι), ἀλλὰ πολλὰ καὶ παντοδαπὰ ἐκ παντὸς ἡμαρτημένα τοῦ χρόνου, ὧν τὸ καθ' ἕκαστον ἐάσας, εἰς ὃ πάντα συντείνει λέξω, δεηθεὶς ὑμῶν, ἂν λέγω τἀληθῆ μετὰ παρρησίας, μηδὲν ἀχθεσθῆναί μοι. πέπραται τὰ συμφέροντα ἐφ' ἑκάστου τῶν καιρῶν, καὶ μετειλήφατε ὑμεῖς μὲν τὴν σχολὴν καὶ τὴν ἡσυχίαν, ἐφ' ὧν κεκηλημένοι τοῖς ἀδικοῦσιν οὐ πικρῶς ἔχετε, ἕτεροι δὲ τὰς τιμὰς ἔχουσιν. 55. καὶ τὰ μὲν περὶ τἄλλα οὐκ ἄξιον ἐξετάσαι νῦν· ἀλλ' ἐπειδάν τι τῶν πρὸς Φίλιππον ἐμπέσῃ, εὐθὺς ἀναστάς τις λέγει ὡς οὐ δεῖ ληρεῖν οὐδὲ γράφειν πόλεμον, παραθεὶς εὐθέως ἑξῆς τὸ τὴν εἰρήνην ἄγειν ὡς ἀγαθὸν καὶ τὸ τρέφειν μεγάλην δύναμιν ὡς χαλεπόν, καὶ "διαρπάζειν τινὲς τὰ χρήματα βούλονται," καὶ ἄλλους λόγους ὡς οἷόν τε ἀληθεστάτους λέγουσιν. 56. ἀλλὰ δεῖ δήπου τὴν μὲν εἰρήνην ἄγειν οὐχ ὑμᾶς πείθειν,

διαλέγεται] 2. 6.

§ 54. **αἴτιον δέ**] cf. 9. 2. "and this state of things comes not from a single cause, but from errors many and various committed throughout times gone by."

ἐκ π. . . τοῦ χρ.] 4. 1.

ὧν . . ἐάσας] "waiving an enumeration."

μηδὲν ἀχθ.] cf. 9. 3.

ἐφ' ἑ. τῶν κ.] "on the occasion of each of your . ." "upon every opportunity." 9. 38. Benseler reads ἀφ' from S—a mere clerical error elevated to the dignity of a new reading.

μετειλήφατε] "have received as your share." Madv. 57, note.

τὴν σχολήν] 8. 53, *ἐκ δὲ τούτων περιγίγνεται ὑμῖν μὲν ἡ σχολὴ καὶ τὸ μηδὲν ἤδη ποιεῖν . . τούτοις δὲ αἱ χάριτες καὶ ὁ μισθὸς ὁ τούτων.*

κεκηλημένοι] supr. 49.

ἕτεροι] "intelligendi sunt proditores a Philippo corrupti." Schäf.

τὰς τ.] "while others get the rewards," = the *ὁ μισθός* of the pass. just quoted.

§ 55. **καὶ . . ἀλλ'**] cf. 9. 59.

τὰ . . περὶ τἄλλα] "the circumstances of the other cases." 8. 52.

τι τῶν πρὸς Φ.] "any of the questions between us and P." 14. 2, *ὡς γνώμης ἔχω περὶ τῶν πρὸς βασιλέα*, and ib. § 6.

ἐμπέσῃ] "comes up," "is started." Pl. *Rep.* I. 354 B, *λόγου ἐμπεσόντος ὅτι . .* Also of the speaker, 18. 42, *ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους.*

τις] one of the peace-at-any-price party.

γράφειν π.] supr. § 18.

παραθεὶς . . ἑξῆς] "going on immediately to say 'what a blessing it is to be at peace. . .'" For *τὸ τὴν εἰρ.* Bens. had *τῷ* . . from S.

ὡς οἷόν τε ἀληθεστάτους] Bekk. st. from S; *ὡς οἴονται ἀλ.* Bekk.

§ 56. **ἀλλὰ δεῖ**] "but surely it is not *you* that need to be persuaded to keep the peace—you that sit persuaded already—but the person who is committing hostilities." For *οἵ* Bekk. had *οἵ γε*. He now omits *γε*, with S.

οἱ πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γε ἀφ' ὑμῶν ὑπάρχει· νομίζειν δ' εἶναι χαλεπὰ οὐχ ὅσα ἂν εἰς σωτηρίαν δαπανῶμεν, ἀλλ' ἃ πεισόμεθ' ἂν μὴ ταῦτ' ἐθέλωμεν ποιεῖν, καὶ τὸ διαρπασθήσεσθαι τὰ χρήματα τῷ φυλακὴν εὑρεῖν δι' ἧς σωθήσεται κωλύειν, οὐχὶ τῷ τοῦ συμφέροντος ἀποστῆναι. 57. καίτοι ἔγωγε ἀγανακτῶ καὶ τοῦτο, εἰ τὰ μὲν χρήματα λυπεῖ τινὰς ὑμῶν εἰ διαρπασθήσεται, ἃ καὶ φυλάττειν καὶ κολάζειν τοὺς ἁρπάζοντας ἐφ' ὑμῖν ἐστί, τὴν δὲ Ἑλλάδα πᾶσαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων οὐ λυπεῖ, καὶ ταῦτ' ἐφ' ὑμᾶς ἁρπάζων. 58. τί ποτ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μὲν οὕτω φανερῶς ἀδικοῦντα καὶ πόλεις καταλαμβάνοντα οὐδεὶς πώποτε τοῦτον εἶπεν ὡς ἀδικεῖ καὶ πόλεμον ποιεῖ, τοὺς δὲ μὴ ἐπιτρέπειν μηδὲ προΐεσθαι ταῦτα συμβουλεύοντας, τούτους πόλεμον ποιεῖν φασίν; ὅτι τὴν αἰτίαν τῶν ἐκ τοῦ πολέμου συμβησομένων δυσχερῶν (ἀνάγκη γάρ, ἀνάγκη πολλὰ λυπηρὰ ἐκ τοῦ πολέμου γίγνεσθαι) τοῖς ὑπὲρ ὑμῶν τὰ βέλτιστα λέγειν οἰομένοις ἀναθεῖναι βούλονται. 59. ἡγοῦνται γάρ, ἐὰν μὲν ὑμεῖς ὁμοθυμαδὸν ἐκ μιᾶς γνώμης Φίλιππον ἀμύνησθε, κἀκείνου κρατήσειν ὑμᾶς καὶ αὐτοῖς οὐκ ἔσεσθαι μισθαρνεῖν, ἂν δ' ἀπὸ τῶν πρώτων

τά γε ἀφ' ὑμ. ὑπ.] 8. 5, *τά γε ἀφ' ὑμῶν ἕτοιμα ὑπάρχοντα ὁρῶ.* "quae quidem a vobis praestanda;" "*your* part," "you are quite ready on your part."

καὶ τό] "and prevent that 'plundering the treasury' they talk of (supr. 55) by devising means for its safe keeping, not by withdrawing from our interest." cf. 8. 53, 54.

§ 57.] **ἀγ. . . τοῦτο**] Madv. 27; Heind. Pl. *Phaed.* § 21. "yet this too moves my indignation that some of you are pained at the possible embezzlement . . (on *εἰ δ.* Madv. 132 *d*), but are not pained to see P. plundering all H. in detail in the way he is doing, and plundering it moreover in order to attack you."

For **καὶ τοῦτο** Dem. has (8. 55) *καὶ αὐτὸ τοῦτο*, and so Bekk. He now omits *αὐτό*, with F S and pr. Υ.

οὑτωσί] 1. 20; supr. 34. Observe the *οὐ* which legitimately follows *εἰ*, "that." Madv. 194 *c*, and 202, r., and note to 1. 24.

§ 58. **τί ποτ'**] "why then, I ask, is it that of the man . . has said that . ."

ὡς ἀδικεῖ] Madv. 159, r. 3.

πόλ. ποιεῖ] Bekk.; *πολεμοποιεῖ* Dind., as Xen. *Hell.* 5. 2. 30, *λαμβάνω τουτονὶ Ἰσμήνιον ὡς πολεμοποιεῖ.*

ἀναθεῖναι] "cast upon." 18. 17, *τὰ πεπραγμένα . . ἀνατιθεὶς ἐμοί.*

§ 59. **ὁμ. ἐκ μιᾶς γν.**] cf. on 3. 6. "heartily out of one mind," "with one heart and mind." Dind. encloses *ἐκ μ. γνώμης* in brackets.

ἀπὸ . . θ.] "if on the first alarm

θορύβων αἰτιασάμενοί τινας πρὸς τὸ κρίνειν τράπησθε, αὐτοὶ μὲν τούτων κατηγοροῦντες ἀμφότερ' ἕξειν, καὶ παρ' ὑμῖν εὐδοκιμήσειν καὶ παρ' ἐκείνου χρήματα λήψεσθαι, ὑμᾶς δ' ὑπὲρ ὧν δεῖ παρὰ τούτων δίκην λαβεῖν, παρὰ τῶν ὑπὲρ ὑμῶν εἰρηκότων λήψεσθαι. 60. *αἱ μὲν ἐλπίδες αἱ τούτων αὗται, καὶ τὸ κατασκεύασμα τὸ τῶν αἰτιῶν, ὡς ἄρα βούλονταί τινες πόλεμον ποιῆσαι· ἐγὼ δ' οἶδα ἀκριβῶς ὅτι οὐ γράψαντος Ἀθηναίων οὐδενὸς πόλεμον πολλὰ Φίλιππος ἔχει τῶν τῆς πόλεως καὶ νῦν εἰς Καρδίαν πέπομφε βοήθειαν. εἰ μέντοι βουλόμεθ' ἡμεῖς μὴ προσποιεῖσθαι πολεμεῖν ἡμῖν ἐκεῖνον, ἀνοητότατος πάντων ἂν εἴη εἰ τοῦτ' ἐξελέγχοι· ὅταν γὰρ οἱ ἀδικούμενοι ἀρνῶνται, τί τῷ ἀδικοῦντι προσήκει;* 61. *ἀλλ' ἐπειδὰν ἐφ' ἡμᾶς αὐτοὺς ἴῃ, τί φήσομεν τότε; ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν, ὥσπερ οὐδὲ Ὠρείταις τῶν στρατιωτῶν ὄντων ἐν τῇ χώρᾳ, οὐδὲ Φεραίοις πρότερον, πρὸς τὰ τείχη προσβάλλων αὐτῶν, οὐδ' Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἐν αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων. ἢ καὶ τότε τοὺς ἀμύνεσθαι κελεύοντας πόλεμον ποιεῖν φήσομεν; οὐκοῦν ὑπόλοιπον δουλεύειν· οὐ γὰρ ἄλλο γε οὐδὲν ἔνι.*

you arraign certain persons, and occupy yourselves with bringing them to trial, they by accusing them will secure both advantages, be popular with you . ."

ἀμφ. . . καὶ . . καί] 1. 14.

§ 60. **αἱ μέν**, *κ.τ.λ.*] "such are the hopes of these men, such the contrivance of their charges that . ." Madv. 10.

For **πολλά** Dem. 8. 58 has *καὶ ἄλλα πολλὰ Φ.*, which is Dindorf's reading here.

εἰς Καρδίαν] cf. 9. 35.

μὴ προσποιεῖσθαι] "to pretend that he is not," "assume that he is not." 6. 33, *οὐχὶ βουλοίμην*. In 8. 58 the emphasis of the last words of the sentence is different. For *ἡμῖν ἐκεῖνον*, Dem. has *αὐτὸν ἡμῖν*.

ἀρνῶνται] sc. *ἀδικούμενοι*. Compare with Schäfer Eur. *Alc.* 1177, *οὐ γὰρ εὐτυχῶν ἀρνήσομαι*, where Monk quotes *Orest.* 1597, *ἀρνεῖ κατακτὰς κἀφ' ὕβρει λέγεις τάδε.*

τί . . . προσήκει] Redh. understands *ὁμολογεῖν* from the preceding *ἀρνῶνται*, as 19. 82, *μὴ δὴ ταῦτα λέγειν αὐτὸν ἐᾶτε, ἀλλ' ὡς οὐκ ἀπολώλασι Φωκεῖς δεικνύναι*, sc. *κελεύετε*. It is not necessary to supply any thing. "what should the perpetrator of the wrong do?"

§ 61.] For **ἐφ' ἡμᾶς αὐτούς** Dem. (8. 59) has *ἐπ' αὐτοὺς ἡμᾶς*.

μὲν γάρ] cf. 9. 17. On the subject of this section cf. 9. 10 sq. "he of course will protest that he is not making war, as he did to . . as he did to the Ph. before, when he was assaulting their walls, and to the Ol. at first, until he was actually in their territory at the head of his army."

οὐ] i. e. *οὐ φήσει π.*

π. ποιεῖν] supr. 58; 9. 7.

οὐ γὰρ ἄλλο . . . . ἔνι] 8. 59, *οὐ*

62. Καὶ μὴν οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν καί τισι τῶν ἄλλων ἀνθρώπων ἔσθ' ὁ κίνδυνος· οὐ γὰρ ἐφ' αὐτῷ ποιήσασθαι τὴν πόλιν βούλεται Φίλιππος ὑμῶν, οὔ, ἀλλ' ὅλως ἀνελεῖν. οἶδε γὰρ ἀκριβῶς ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτ' ἐθελήσετε οὔτ', ἂν ἐθέλητε, ἐπιστήσεσθε· ἄρχειν γὰρ εἰώθατε· πράγματα δὲ παρασχεῖν αὐτῷ, ἂν καιρὸν λάβητε, πλείω τῶν ἄλλων ἀνθρώπων ἁπάντων δυνήσεσθε. διὰ ταῦτα ὑμῶν οὐχὶ φείσεται, εἴπερ ἐγκρατὴς γενήσεται. 63. ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ἐσομένου τοῦ ἀγῶνος ὑμῖν, οὕτω προσήκει γιγνώσκειν, καὶ τοὺς πεπρακότας αὑτοὺς ἐκείνῳ φανερῶς ἀποτυμπανίσαι· οὐ γὰρ ἔστιν, οὐκ ἔστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητε ἐχθρούς, ἀλλ' ἀνάγκη τούτοις ὥσπερ προβόλοις προσπταίσαντας ὑστερίζειν ἐκείνων. 64. πόθεν οἴεσθε νῦν αὐτὸν ὑβρίζειν ὑμᾶς (οὐδὲν γὰρ ἄλλο ἔμοιγε δοκεῖ ποιεῖν ἢ τοῦτο) καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο, ἐξαπατᾶν, ὑμῖν δὲ ἀπειλεῖν ἤδη. οἷον Θετταλοὺς πολλὰ δοὺς ὑπηγάγετο εἰς

γὰρ ἄλλο γ' οὐδέν ἐστι μεταξὺ τοῦ μήτ' ἀμύνεσθαι μήτ' ἄγειν ἡσυχίαν ἐᾶσθαι.

§ 62. **ὑπὲρ τῶν ἴσων**] "for an equal risk." Thuc. 2. 42, *διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ὑμῖν εἶναι τὸν ἀγῶνα καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως.* For *τισι τῶν ἄλλων*, which is feeble, Dem. has *τοῖς ἄλλοις*, which is obviously required to give full rhetorical force to the argument.

οὐ γὰρ . . οὔ] (the second *οὔ* is wanting in 8. 60). Cf. Dem. 21. 112, *οὐ μέτεστι τῶν ἴσων, οὐ μέτεστιν, οὔ.* Soph. *Aj.* 970.

ἐθελήσετε] "consent to be subject, nor if you did would you know how."

§ 63. **ὡς . . . οὕτω**] cf. 4. 16. Thuc. 7. 15, *ὡς τῶν ἡγεμόνων ὑμῖν μὴ μεμπτῶν γεννημένων οὕτω τὴν γνώμην ἔχετε.* Don. *Gr. Gr.* p. 605. "you ought then to make up your minds that the struggle will be one for life and death." For *ἐσομένου* 8. 61 has the more forcible *ὄντος.* Bekk. had *φανερῶς μισεῖν καὶ ἀποτυμπανίσαι.* He now omits *μισεῖν καί,* with S Υ.

ἀποτυμπανίσαι] 9. 61.

οὐ γὰρ . . ἐχθρούς] taken from 8. 61; 9. 53.

προβόλοις] Ps. Dem. 25. 84, *μὴ δὴ πρὸς οὓς αὐτὸς ἔχωσας λιμένας καὶ προβόλων ἐνέπλησας, πρὸς τούτοις προσορμίζου.* On account of *προσπταίσαντες* we must understand the word here in a metaphorical sense—"stumbling-blocks," "stones in the way."

ὑ. ἐκείνων] "and so be too late for the others," i. e. your foreign enemies.

§ 64. **καὶ τοὺς μέν**] "and whilst by conferring benefits on them he deceives the rest, if nothing else (19. 98, *ἡ ἀπολογία, καὶ εἰ μηδὲν ἄλλο, τοὔνομα γοῦν ἔχει φιλάνθρωπον*), has begun (*ἤδη*) to threaten you."

πολλά] 2. 7; 6. 22.

ὑπήγαγετο] "artfully led them on," "lured them"—the middle of

τὴν νῦν παροῦσαν δουλείαν· οὐδ' ἂν εἰπεῖν δύναιτο οὐδεὶς ὅσα τοὺς ταλαιπώρους Ὀλυνθίους πρότερον δοὺς Ποτίδαιαν ἐξηπάτησε καὶ πολλὰ ἕτερα· Θηβαίους τὰ νῦν ὑπάγει τὴν Βοιωτίαν αὐτοῖς παραδοὺς καὶ ἀπαλλάξας πολέμου πολλοῦ καὶ χαλεποῦ· 65. ὥστε καρπωσάμενοί τινα ἕκαστοι τούτων πλεονεξίαν οἱ μὲν ἤδη πεπόνθασιν ἃ δὴ πεπόνθασιν, οἱ δ' ὅ τι ἂν ποτε συμβῇ πείσονται. ὑμεῖς δὲ ὧν μὲν ἀπεστέρησθε σιωπῶ· ἀλλ' ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι πόσα ἐξηπάτησθε, πόσων ἀπεστέρησθε. οὐχὶ Φωκέας, οὐ Πύλας, οὐχὶ τὰ ἐπὶ Θρᾴκης, Δορίσκον, Σέρριον, τὸν Κερσοβλέπτην αὐτόν; οὐ νῦν Καρδίαν ἔχει καὶ ὁμολογεῖ; 66. τί ποτ' οὖν ἐκείνως τοῖς ἄλλοις καὶ ὑμῖν τοῦτον τὸν τρόπον προσφέρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ ὑμετέρᾳ ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται, καὶ λαβόντα χρήματα αὐτὸν ἀσφαλές ἐστι λέγειν παρ' ὑμῖν, κἂν ἀφῃρημένοι τὰ ὑμέτερα αὐτῶν ἦτε. 67. οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου μὴ συνευπεπονθότων τῶν πολλῶν Ὀλυνθίων τῷ Ποτίδαιαν καρποῦσθαι· οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου μὴ συνευπεπονθότος τοῦ πλήθους τοῦ

course expressing that it was with a selfish object. 6. 31.

Ποτίδαιαν] 2. 7; 6. 20.

ὑπάγει] Bekk. st. from S: *ὑπάγεται* Bekk.

πολλοῦ] "tedious," i. e. the Phocian War. cf. Grote, 11. 520.

§ 65. **ὥστε, κ.τ.λ.**] "so that these people, after enjoying each of them a certain advantage, have some of them . ." cf. 6. 20 sq.

ἃ δὴ π.] Bekk. st. from S. "what we all know." 3. 8, *ἐχόντων ὡς ἔχουσι.* Dem. 8. 63 has **ἃ** *δὴ πάντες ἴσασιν*, and so Bekk. and Dind.

ὅ τι ἂν . . . σ.] "whatever may one day befall them." In 8. 69 we have *ὅταν πότε σ.*, "sooner or later."

ὑμεῖς δὲ . . . ἀλλ'] "and as to yourselves, to say nothing of . ." 9. 35.

ἐν αὐτῷ τῷ] 6. 7; 9. 15 sq.

Φωκέας] depending on *ἔχει*.

Καρδίαν] cf. 9. 16, 35. In 8. 64, *τὴν πόλιν τὴν Καρδιανῶν. ὡμολογεῖ*, i. e. *ἔχειν*.

§ 66.] For **τοῦτον τὸν τρ.** Dem. 8. 64 has *οὐ τὸν αὐτὸν τρ. ἡμῖν.*

ὅτι ἐν μ.] "because your city is the only one of them all in which liberty is allowed to speak for its enemies—the only one in which a man may safely after taking a bribe himself speak before you." ***αὐτόν*** to bring out the contrast between the hireling speaker and the people ***ἀφῃρημένοι.***

ἄδεια . . . λ.] 1. 15, *εἰς ἀνάγκην ποιεῖν.*

§ 67. **οὐκ ἦν**] "it was not safe at O. to speak in favour of P. without the people sharing the benefit by enjoying P." 6. 20.

Θετταλῶν τῷ τοὺς τυράννους ἐκβαλεῖν Φίλιππον αὐτοῖς καὶ τὴν πυλαίαν ἀποδοῦναι· οὐκ ἦν ἐν Θήβαις ἀσφαλές, πρὶν τὴν Βοιωτίαν ἀπέδωκε καὶ τοὺς Φωκέας ἀνεῖλεν. 68. *ἀλλ' Ἀθήνησιν οὐ μόνον Ἀμφίπολιν καὶ τὴν Καρδιανῶν χώραν ἀπεστερηκότος Φιλίππου, ἀλλὰ καὶ κατασκευάζοντος ἡμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν καὶ νῦν ἐπὶ Βυζάντιον παριόντος ἀσφαλές ἐστι λέγειν ὑπὲρ Φιλίππου. καὶ γάρ τοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ πλούσιοι γίγνονται καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων ἔνδοξοι καὶ γνώριμοι, ὑμεῖς δὲ τοὐναντίον ἐκ μὲν ἐνδόξων ἄδοξοι ἐκ δ' εὐπόρων ἄποροι.* 69. *πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦμαι συμμάχους πίστιν εὔνοιαν, ὧν πάντων ὑμεῖς ἐστὲ ἄποροι· ἐκ δὲ τοῦ τούτων ὀλιγώρως ὑμᾶς ἔχειν καὶ ἐᾶν τοῦτον τὸν τρόπον τὰ πράγματα φέρεσθαι ὁ μὲν εὐδαίμων καὶ μέγας καὶ φοβερὸς πᾶσιν Ἕλλησι καὶ βαρβάροις, ὑμεῖς δ' ἔρημοι καὶ ταπεινοί, τῇ μὲν κατὰ τὴν ἀγορὰν εὐετηρίᾳ λαμπροί, τῇ δ' ὧν προσῆκε παρασκευῇ καταγέλαστοι.*

70. *Οὐ τὸν αὐτὸν δὲ τρόπον περί τε ὑμῶν καὶ περὶ αὑτῶν ἐνίους τῶν λεγόντων ὁρῶ βουλευομένους· ὑμᾶς μὲν γὰρ ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ, αὐτοὶ δ' οὐ δύνανται παρ' ὑμῖν ἡσυχίαν ἄγειν οὐδενὸς αὐτοὺς ἀδικοῦντος. καίτοι λοιδορίας χωρίς, εἴ τις ἔροιτο "εἰπέ μοι, τί δὴ γιγνώσκων ἀκριβῶς Ἀριστόμηδες (οὐδεὶς γὰρ τὰ τοιαῦτ'*

ἐκβαλεῖν] 1. 12; 6. 20.

πυλαίαν] 6. 20.

Βοιωτίαν ἀπέδωκε] cf. 19. 141.

§ 68. **κατασκευάζοντος**] "in converting E. into a fortress against us (9. 17), and is now on his march to attack B." (9. 17, 34).

ἐκ πτωχῶν] 3. 29.

§ 69. **ἄποροι**] "bankrupt."

ὀλ. . . . ἔχειν] "regarding these things with indifference." Lys. 26. 9, *οὐκ ἄξιον τῆς δοκιμασίας ὀλιγώρως ἔχειν*. Don. § 453.

φέρεσθαι] In 8. 67 West., &c., read *στέρεσθαι*, with S and γρ F—a mere error of the copyist. "to take their course."

τῇ μέν] 8. 67, *τῇ τῶν ὠνίων ἀφθονίᾳ λαμπροί*, the rest of the sentence being the same as here. cf. supr. 49.

§ 70. **λ. χωρίς**] "raillery apart." 9. 4, *κολακείας χωρίς*. Bekk. st. omits *καὶ ἀπράγμονα* after *ἀσφαλῆ*, with S. The words are retained by Dind. "why is it that when you know . . . why is it that you choose not the quiet and easy life, but the one surrounded by danger?"

Ἀριστόμηδες] According to Plutarch, *Reip. gerendae Praec.*, c. 14, Demosthenes made no attacks of this kind in his Philippics: *καίτοι γε καὶ Δημοσθένης ἐν τῷ δικανικῷ τὸ λοίδορον ἔχει μόνῳ, οἱ δὲ Φιλιππικοὶ καθαρεύουσι καὶ σκώμματος καὶ βωμο-*

ἀγνοεῖ) τὸν μὲν τῶν ἰδιωτῶν βίον ἀσφαλῆ καὶ ἀκίνδυνον ὄντα, τὸν δὲ τῶν πολιτευομένων φιλαίτιον καὶ σφαλερὸν καὶ καθ' ἑκάστην ἡμέραν ἀγώνων καὶ κακῶν μεστόν, οὐ τὸν ἡσύχιον καὶ ἀπράγμονα ἀλλὰ τὸν ἐν τοῖς κινδύνοις αἱρῇ;" 71. τί ἂν εἴποις; εἰ γὰρ ὃ βέλτιστον εἰπεῖν ἂν ἔχοις, τοῦτό σοι δοίημεν ἀληθὲς λέγειν, ὡς ὑπὲρ φιλοτιμίας καὶ δόξης ταῦτα πάντα ποιεῖς, θαυμάζω τί δή ποτε σαυτῷ μὲν ὑπὲρ τούτων ἅπαντα ποιητέον εἶναι νομίζεις καὶ πονητέον καὶ κινδυνευτέον, τῇ πόλει δὲ προέσθαι ταῦτα μετὰ ῥᾳθυμίας συμβουλεύεις. οὐ γὰρ ἐκεῖνό γ' ἂν εἴποις, ὡς δὲ μὲν ἐν τῇ πόλει δεῖ τινὰ φαίνεσθαι, τὴν πόλιν δ' ἐν τοῖς Ἕλλησι μηδενὸς ἀξίαν εἶναι. 72. καὶ μὴν οὐδ' ἐκεῖνό γε ὁρῶ, ὡς τῇ μὲν πόλει ἀσφαλὲς τὸ τὰ αὑτῆς πράττειν, σοὶ δὲ ἐπικίνδυνον εἰ μηδὲν τῶν ἄλλων πλέον περιεργάσῃ, ἀλλὰ τοὐναντίον σοὶ μὲν ἐξ ὧν ἐργάζῃ καὶ περιεργάζῃ τοὺς ἐσχάτους ὄντας κινδύνους, τῇ πόλει δὲ ἐκ τῆς ἡσυχίας. 73. ἀλλὰ νὴ Δία παππῴα καὶ πατρῴα δόξα σοι ὑπάρχει, ἣν αἰσχρόν ἐστιν ἐν σοὶ κατα-

λοχίας ἁπάσης. The Schol. explains it by saying that Dem. singled out Aristomedes as *ἕνα τινὰ τῶν προδοτῶν*, who opposed the alliance with Persia and the war with Philip. We can hardly believe that the orator, if driven to depart from his usual custom of leaving opponents unnamed, would have wasted his strength upon a nobody. Bekk. and Dind. read **Ἀριστόδημον**, by whom some think the tragic actor of that name is meant; respecting him see Grote, 11. 517, 518. But there is no evidence that Aristodemus took any prominent part in politics except during the preliminary negotiations for peace, when his doing so was in a great measure accidental.

φιλαίτιον] "exposed to attack," "to hostile criticism."

§ 71. **εἰ γάρ**] "for if we should grant that the best answer you could make is true in your mouth, that . . ."

σ. μέν] "you consider yourself bound to use every exertion and undergo toil and danger. ."

μετὰ ῥ.] "with indifference."

τινά] "a person of consequence," "of importance." 21. 213, *τὸ δοκεῖν τινες εἶναι*. The neuter is used in the same way (Pl. *Apol.* ad fin.), like "aliquid" in Latin. Juv. 1. 74, "si vis esse aliquid."

§ 72. **καὶ μήν**] "nor again do I really see that for the state it is safe to mind her own business," attend to her own affairs as recommended by the peace party. 27. 46, *ἐπειδὴ δεῖ λόγον αὐτὸν δοῦναι τούτων, τὰ αὑτοῦ πράττειν φησίν.*

ἐργάζῃ καὶ π.] "from your meddling and overmeddling." Mr. K.

§ 73. **νὴ Δία**] "but I suppose," "but you may tell me . ." 6. 13.

σοι ὑπάρχει] supr. 25, *τῶν ὑπαρχόντων*. "you inherit," "there has descended to you." Isocr. 9. 19, *τὰ . . ἐξ ἀρχῆς Εὐαγόρᾳ παρὰ των προγόνων ὑπάρξαντα.* Id. 16. 24, *ἵν' ἐπίστησθ' ὅτι πόρρωθεν ἡμῖν ὑπάρχει μεγιστα καὶ κάλλιστα τῶν πολιτῶν,*

λῦσαι· τῇ πόλει δ' ὑπῆρξεν ἀνώνυμα καὶ φαῦλα τὰ τῶν προγόνων. ἀλλ' οὐδὲ τοῦθ' οὕτως ἔχει· σοὶ μὲν γὰρ ἦν κλέπτης ὁ πατήρ, εἴπερ ἦν ὅμοιός σοι, τῇ πόλει δ' ἡμῶν, ὡς πάντες ἴσασιν, οἱ Ἕλληνες ἐκ τῶν μεγίστων κινδύνων σεσωσμένοι. 74. ἀλλὰ γὰρ οὐκ ἴσως οὐδὲ πολιτικῶς ἔνιοι τὰ καθ' ἑαυτοὺς καὶ τὰ κατ' αὐτὴν πολιτεύονται· πῶς γάρ ἐστιν ἴσον τούτων μέν τινας ἐκ τοῦ δεσμωτηρίου ἥκοντας ἑαυτοὺς ἀγνοεῖν, τὴν πόλιν δ', ἣ προειστήκει τῶν ἄλλων τέως καὶ τὸ πρωτεῖον εἶχε, νῦν ἐν ἀδοξίᾳ πάσῃ καὶ ταπεινότητι καθεστάναι;

75. Πολλὰ τοίνυν ἔχων ἔτι καὶ περὶ πολλῶν εἰπεῖν παύσομαι· καὶ γὰρ οὐ λόγων ἐνδείᾳ μοι δοκεῖ τὰ πράγματα οὔτε νῦν οὔτ' ἄλλοτε πώποτε φαύλως ἔχειν, ἀλλ' ὅταν πάντ' ἀκούσαντες ὑμεῖς τὰ δέοντα, καὶ ὁμογνώμονες ὡς ὀρθῶς λέγεται γενόμενοι, τῶν λυμαίνεσθαι καὶ διαστρέφειν ταῦτα βουλομένων ἐξ ἴσου κάθησθε ἀκροώμενοι, οὐκ ἀγνοοῦντες αὐτούς (ἴστε γὰρ εὐθὺς ἰδόντες ἀκριβῶς, τίς μισθοῦ λέγει

i. e. that our family is one of the oldest and most distinguished in Athens. Pl. *Charm.* 155 A.

ἐν σοὶ κ.] "which it is, you would say, disgraceful to terminate in your own person." Thuc. 2. 64, *ταῦτα γὰρ ἐν ἔθει τῇδε τῇ πόλει πρότερόν τε ἦν νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ.*

τῇ π.] "while the city inherits from our ancestors only what is ignoble and mean."

τῇ π. . . ὡς] Bekk. had *οἱ Ἕ. δὶς ἐκ . . κ. ὑπὸ τῶν προγόνων σ.* He now omits *δὶς* and *ὑπὸ τῶν πρ.* because they are not supported by S. "Lenissime corrigas *οὓς πάντες ἴσασιν οἱ Ἕ.*" (Schäf.), a conj. introduced into the text by Dind. The emendation though plausible seems unnecessary, as such deviations from strict sequence are not uncommon. "your father was a thief, if he was like you, whereas by our city, as all men know, the Greeks were saved . ." cf. 2. 24.

πόλει] Madv. 38 *g*.

σεσωσμένοι] sc. *ἦσαν*, from *ἦν*. See note to 3. 25.

§ 74. **οὐκ ἴσως**] Bekk. formerly read *ἀλλὰ γὰρ οὐκ*. He now omits the words *ἀλλὰ γάρ*, as not found in S. They are rightly, I think, retained by Dind. "but some administer their own affairs and those of the city in a way neither equitable nor becoming them as citizens," "neither equitably nor constitutionally."

πολιτικῶς] cf. 9. 48; 19. 99.

προειστήκει] "once was at the head of the H. and held the foremost place . ."

§ 75. **ὁμ. . . . γενόμενοι**] "all agreeing that . . ."

ἐξ ἴσου] "with equal favour."

εὐθὺς ἰδόντες] "the moment you see them," "at the first glance." Madv. 175 *b*. Hyperides could say at a later period, *οὐ μόνον αὐτοί, ἀλλὰ καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἴσασι καὶ τὰ παιδία τὰ ἐκ τῶν διδασκαλείων*

καὶ ὑπὲρ Φιλίππου πολιτεύεται, καὶ τίς ὡς ἀληθῶς ὑπὲρ τῶν βελτίστων), ἀλλ' ἵν' αἰτιασάμενοι τούτους καὶ τὸ πρᾶγμα εἰς γέλωτα καὶ λοιδορίαν ἐμβαλόντες μηδὲν αὐτοὶ τῶν δεόντων ποιῆτε. 76. ταῦτ' ἐστὶ τἀληθῆ μετὰ πάσης παρρησίας, ἁπλῶς εὐνοίᾳ, τὰ βέλτιστα εἰρημένα, οὐ κολακείας καὶ βλάβης καὶ ἀπάτης λόγος μεστός, ἀργύριον μὲν τῷ λέγοντι ποιήσων, τὰ δὲ πράγματα τῆς πόλεως τοῖς ἐχθροῖς ἐγχειριῶν. ἢ οὖν παυστέον τούτων τῶν ἐθῶν, ἢ μηδένα ἄλλον αἰτιατέον τοῦ πάντα φαύλως ἔχειν ἢ ὑμᾶς αὐτούς.

καὶ τῶν ῥητόρων τοὺς παρ' ἐκείνων μισθαρνοῦντας .... (*Pro Euxenip.* § 22).

μισθοῦ] "for hire."

ὡς ἀληθῶς] "honestly."

εἰς γ. . . ἐμβ.] "turning the thing into laughter and raillery."

§ 76. **ἁπλῶς**] "with perfect freedom, simply out of good will, as the best," "for the best."

